Ἡ δὲ ἐν στίχ. 4 φερομένη προσωνυμία: *Δρουγγάριος* ἐστὶ στρατιωτικοῦ ἀξιώματος δηλωτική, παραχθεῖσα ἐκ τοῦ: *Δροῦγγος*, ἐξ οὗ καὶ ἐπίρρημα ἐπλάσθη: *Δρουγγιστί*, τουτέστι κατὰ δρούγγους παρατάττεσθαι. Περὶ τούτων λοιπὸν Λέων ὁ Σοφὸς ἐν τοῖς *Τακτικοῖς* αὐτοῦ λέγει: «*Πρώτη κεφαλὴ ὁ στρατηγός, καὶ μετ' αὐτὸν οἱ μεράρχαι καὶ τουρμάχαι, εἶτα δρουγγάριοι*» [Διάτ. Δ', ς'.]. Καί: «*Δρουγγάριος δὲ λέγεται ὁ μιᾶς μοίρας ἄρχων, ἥτις ὑπὸ τοῦ μέρους τοῦ τουρμάρχου τάσσεται· Μέρος γάρ ἐστιν ἡ τούρμα, τὸ ἐκ τριῶν μοιρῶν, ἤγουν δρούγγων, συγκείμενον ἄθροισμα. Μοῖρα δέ ἐστιν, ἤτοι δροῦγγος, τὸ ἐκ ταγμάτων, ἤτοι ἀνδρῶν τῶν λεγομένων κομήτων συγκείμενον πλῆθος*» [Αὐτόθι θ'.—Πρβλ. καὶ Μαυρικίου *Στρατηγικ.* λόγ. Α', κεφ. γ'.]. Ἀλλὰ καὶ ὁ στόλαρχος ἐλέγετο: *Μέγας δρουγγάριος* ἢ καὶ ἁπλῶς *Δρουγγάριος τοῦ βασιλικοῦ στόλου* ἢ *τοῦ πλωΐμου*, ὡς καὶ ὁ τῆς βασιλίδος τῶν πόλεων φρούραρχος: *Μέγας* ἢ καὶ ἁπλῶς *Δρουγγάριος τῆς βίγλης* (ἐκ τοῦ λατιν. *Vigilia*).

Ὁδοῦ δὲ πάρεργον σημειούσθω, ὅτι ἡ ἐν σελ. 523 τοῦ προηγουμένου τόμου δημοσιευθεῖσα ἐπιγραφὴ τοῦ ἐν τῇ ἀκροπόλει Πατρῶν ναοῦ τοῦ ἁγίου Ἀνδρέου ἐκδέδοται τὸ πρῶτον ἐν τῷ πολυτίμῳ συγ-

γράμματι: *Expédition scientifique de Morée*, ἐξ οὗ μετείληφεν αὐτὴν καὶ ὁ A. Kirchhoff ἐν τῷ *Corp. inscr. Graec.* τόμ. Δ', σελ. 356, ἀριθ. 8776.

ΑΡΓΟΥΣ ΚΑΙ ΝΑΥΠΛΙΟΥ ΠΑΛΑΙΟΙ ΙΕΡΑΡΧΑΙ

ΥΠΟ

Ι. ΣΑΚΚΕΛΙΩΝΟΣ.

Τοῖς φίλοις ἀναγνώσταις τοῦ *Δελτίου* παρατιθέμεθα ἐπιτετμημένην περιγραφὴν χειρογράφου τεύχους ἐξ ὧν κέκτηται ὁ ἀπό τινος χρόνου εἰς Ἀθήνας μετοικήσας ἀρχαῖος ἐν Ζακύνθῳ τυπογράφος κ. Σέργιος Χ. Ῥαφτάνης. Ἐν τῷ χειρογράφῳ τούτῳ ἀνεκαλύψαμεν σειρὰν ὅλην εἴκοσι καὶ τριῶν ἱεραρχῶν τῆς ἐπαρχίας Ἄργους, τῶν πάντων, πλὴν τριῶν, ἀγνώστων. Ἐκ δὲ τῆς ἀνακαλύψεως ταύτης παρωρμήθημεν εἴς τε τοῦ χειρογράφου τὴν περιγραφὴν καὶ τῆς τῶν ἱεραρχῶν ἀναγραφῆς τὴν δημοσίευσιν, μικρὰν οὕτω παρέχοντες συμβολὴν τῷ ἐγχειρήσοντί ποτε τὴν τοπικὴν τοῦ Ἄργους καὶ τοῦ Ναυπλίου ἱστορίαν συντάξαι.

Καὶ πρόπαλαι μὲν τὸ Ἄργος ἦν ἐπισκοπὴ ὑπὸ τὸν Κορίνθου μητροπολίτην· ἐν ἔτει δὲ 1166 προςετέθη αὐτῇ καὶ τὸ Ναύπλιον διὰ χρυσοβούλλου τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, ὡς ἐν τῇ δημοσιευομένῃ ἀναγραφῇ σημειοῦται. Μικρῷ δὲ ὕστερον, ἤτοι τῷ 1189, εἰς μητρόπολιν ἀνέδειξεν αὐτὴν ὁ αὐτοκράτωρ Ἰσαάκιος ὁ Ἄγγελος. Πάντες τοίνυν οἱ ἐν τῇ ἀναγραφῇ καταλελεγμένοι ἱεράρχαι προέστησαν ἐκ διαδοχῆς ταύτης τῆς ἐπαρχίας ἐπὶ διακοσιετηρίδα ὡς ἔγγιστα, τουτέστιν ἀπὸ τοῦ τέλους τῆς Ι' ἕως τέλους τῆς ΙΒ' ἑκατονταετηρίδος, ὡς ἐκ τῆς ἐμφερομένης τῶν χρόνων σημασίας συνάγεται. Ἐκ τούτων δὲ ὁ πρῶτος Πέτρος, ὁ καὶ ἐν ἁγίοις ὑπὸ τῆς Ἐκκλησίας γεραιρόμενος τῇ γ' Μαΐου, ἦν ἐν τοῖς χρόνοις Βασιλείου τοῦ Μακεδόνος, κατὰ τὰ ἐν τῇ ἀναγραφῇ σημειούμενα. Κατὰ δὲ τὸν *Συναξαριστήν*, ὁ τὸ τηνικαῦτα τοὺς οἴακας τοῦ οἰκουμενικοῦ

θρόνον διθύνων Νικόλαος ὁ Ἰταλός (1), ὁ καὶ ἄλλως *Μυστικὸς* ἐπιλεγόμενος, ὡς σύμβουλος χρηματίσας τοῦ βασιλέως, τὴν ἀρετὴν θαυμάζων τοῦ ἀνδρὸς καὶ τὴν λογιότητα διὰ σπουδῆς εἶχεν ἀρχιερέα αὐτὸν ἀναδεῖξαι. Ὁ δέ, τὴν ἀρχιερωσύνην ἀπαναινόμενος, καὶ τὸν ἐπικείμενον πατριάρχην ὑπεκκλίνων ἀπέρχεται εἰς Κόρινθον μετὰ Παύλου τοῦ ἰδίου ἀδελφοῦ, ἱεράρχου ὄντος τῆς ἐπαρχίας ταύτης, κἀκεῖ διήνυσεν ἱκανὸν χρόνον ἡσυχάζων. Ἀλλ' ἐπὶ τέλους ταῖς τῶν Ἀργείων καὶ Ναυπλιέων θερμαῖς δεήσεσιν ἐνδοὺς ἔστερξε τὴν ποιμαντορίαν αὐτῶν ἀναδέξασθαι ἀντὶ τοῦ τελευτήσαντος ἐπισκόπου. Πλὴν ἀλλ' ἀσυμβίβαστον δοκεῖ χρονικῶς τὸ ἐν τῇ αὐτῇ ἀναγραφῇ σημειούμενον, ὅτι παρῆν οὗτος ἐν τῇ λεγομένῃ Α' καὶ Β' οἰκουμενικῇ Συνόδῳ· τοῦτο μέν, διότι ἡ Σύνοδος αὕτη συνεκροτήθη τῷ 879 ἔτει, ὁπότε οὐκ ἐτύγχανε προκεχειρισμένος ἐπίσκοπος· τοῦτο δέ, διότι ἐν τοῖς *Πρακτικοῖς* αὐτῆς οὐκ ἐμφέρεται μετὰ τῶν ἄλλων ἱεραρχῶν ὑπογεγραμμένος (2). Παρατιθέμεθα δ' ἐνταῦθα καὶ τὸ περὶ τοῦ τιμίου λειψάνου αὐτοῦ ἱστορούμενον ὑπὸ τοῦ ἀνωνύμου συγγραφέως τοῦ *Συντόμου Χρονικοῦ*, τοῦ συνημμένως τῇ τοῦ Δούκα *Βυζαντινῇ Ἱστορίᾳ* ἐκδεδομένου, οὕτως ἔχον: «*Τῷ ,ϛϡκθ' ἔτει* (+1421), *νεμήσει ιδ', Ἰανουαρίου κα', ἡμέρᾳ γ', Σιγουντονάνης ἐπίσκοπος Λατίνων μετεκόμισε τὰ τίμια λείψανα τοῦ ὁσιωτάτου Πέτρου ἐπισκόπου Ναυπλίου καὶ Ἄργους ἀπὸ τοῦ Ἄργους εἰς τὴν ἐπισκοπὴν Ναυπλίου. Φασὶ δὲ οἱ ἐκεῖσε εὑρεθέντες, ὅτι ὅταν ἤνοιξαν τὸν ἅγιον τάφον ἐκεῖνον, ἐγένετο σεισμὸς ἐν τῷ τόπῳ, καὶ ἐξῆλθεν εὐωδία πλείστη καὶ ἐπλήρωσε τὸν χῶρον καὶ τὸν ἀέρα· καὶ ὁ τάφος πεπληρωμένος φωτός, καὶ τὰ τίμια λείψανα σεμνῶς κατακείμενα· ἃ καὶ λαβόμενοι τινὲς τῶν πιστῶν ἐγίνοντο πλεῖσται ἰάσεις*» (3). Τοῦ ὁσίου τούτου ἀνδρὸς σώζεται

(1) Ἰταλὸν αὐτὸν λέγει, ὡς ἐκ τῶν Ἰταλιωτῶν Ἑλλήνων ἕλκοντα ἴσως τὸ γένος. Ὅθεν καὶ Ἐφραίμιος ὁ χρονογράφος τοιάδε περὶ αὐτοῦ ἱστορεῖ [ϛ 10032—36]:

Ἀρχιθύτης δέδεικτο τῆς Βυζαντίδος
Ἀνὴρ μοναχός, εὐλαβής, σοφὸς μέγας,
Κλῆσιν μὲν Νικόλαος, ἄξιος θρόνου,
Μυστικὸς ἀξίαν δὲ πρόσθεν τυγχάνων,
Ἐκφὺς Ἰταλῶν, εὐφυὴς περὶ λόγους.

Ἐπατριάρχησε δὲ τῷ 895—906, καὶ αὖθις τῷ 911—925.

(2) Ὅρα Σπυρίδ. Μήλια *Συνόδ. Συλλογήν*, τόμ. Β', σελ. 929.

(3) Σελ. 198 τῆς ἐν Παρισ. ἐκδ.

Λόγος εἰς τοὺς ἁγίους ἐνδόξους καὶ θαυματουργοὺς Ἀναργύρους Κοσμᾶν καὶ Δαμιανόν, οὗ ἡ ἀρχή: «*Ἀστέρες μὲν αἰσθητοὶ τῷ στερεώματι προδεικνύμενοι πρὸς θέαμα κινοῦσι μέγα.*», παρ' Ἀλλατίῳ μνημονευόμενος (1), ἀνέκδοτος δ' ἔτι ὅσον ἡμεῖς οἴδαμεν. Καὶ ἕτερος δὲ λόγος αὐτοῦ φέρεται ἐν χειρογράφῳ τεύχει τῆς Ἐθνικῆς Βιβλιοθήκης, ἀριθ. 209, ἐπιγεγραμμένος: *Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πέτρου ἐπισκόπου Ἀργείων Ἐγκώμιον εἰς τὴν ἁγίαν Ἄνναν τὴν μητέραν* [γρ. *μητέρα*] *τῆς Θεοτόκου*· οὗ ἡ ἀρχή: «*Τῶν τοῖς μεγάλοις* [γρ. *τῆς μεγάλης*] *Ἄννης μέλων* [γρ. *μέλλων*] *ἐπαίνων ἐπιχειρεῖν δέδοικα μὴ θράσους ὑπολάβω γραφὴν ὡς τοῖς ἀνεφύκτοις* [γρ. *ἀνεφίκτοις*] *κατατολμῶν καὶ ὑπὲρ τὴν ἰδίαν ἐπεκτεινόμενος δύναμιν*». Ἀλλ' ἀτυχῶς ὀλίγιστά εἰσι τὰ ἐκ τῆς ἀρχῆς περισωθέντα, ἀπολομένων τῶν λοιπῶν σὺν τοῖς τελευταίοις φύλλοις τοῦ χειρογράφου. Σημειωτέον δὲ ὅτι συνέχεάν τινες τοῦτον πρὸς ἕτερον ὁμώνυμον καὶ σύγχρονον αὐτῷ, Πέτρον τὸν Σικελιώτην, ἱστορίαν τῆς τῶν Μανιχαίων τῶν καὶ Παυλικιανῶν λεγομένων αἱρέσεως συγγεγραφότα καὶ τρεῖς κατ' αὐτῶν Λόγους (2). Καὶ ταῦτα μὲν περὶ τούτου. Περὶ δὲ τῶν εὐαριθμήτων ἀρχαιοτέρων τε καὶ νεωτέρων γνωστῶν ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας, τουτέστι τῶν πρὸ τῆς Ι' ἑκατονταετηρίδος καὶ τῶν μετὰ τὴν ΙΒ', παραπέμπομεν τὸν ἀναγνώστην εἰς τοῦ Μιχ. Λεκυιήνου τὴν *Χριστιανικὴν Ἀνατολὴν* (3).

Τὸ τοίνυν χειρόγραφον, περὶ οὗ ὁ λόγος, ἐστὶ σχήματος ὀγδόου ἐκ φύλλων συγκείμενον 449, γεγραμμένον δὲ περὶ τὴν ΙΕ' ἑκατονταετηρίδα. Περιέχονται δ' ἐν αὐτῷ τάδε:

α') *Ἔπη ἐκ τῶν Γρηγορίου τοῦ Ναζιανζηνοῦ ΝΗ'.*

β') *Βασιλείου τοῦ μεγάλου Πρὸς Γρηγόριον τὸν ἴδιον ἀδελφὸν Περὶ θείας οὐσίας καὶ ὑποστάσεως* (4).

γ') *Βίος τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἁγίου καὶ ἀοιδίμου πατρὸς ἡμῶν Σταυρακίου ἱερέως τοῦ Μαλαξοῦ καὶ σκευοφύλακος τῆς*

(1) Ἐν τῇ *Περὶ τῶν Συμεώνων καὶ τῶν αὐτοῖς συγγραφέντων Διατριβῇ*, σελ. 83.

(2) Ἴδε Migne *Ἑλλην. Πατρολογ.* τόμ. ΡΔ', σελ. 1231 ἐφ.

(3) *Le Quien Oriens Christianus*, τόμ. Β', σελ. 183 ἐφ.

(4) Ἐν ταῖς ἐκδόσεσιν ἡ ἐπιγραφὴ ἔχει οὕτω: *Περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως* [ὅρα τοῦ θείου πατρὸς Ἐπιστολ. ΛΗ'.]. Ἐν δὲ τῇ τοῦ χειρογράφου ᾤᾳ ἐσημειώσατο ὁ ἀντιγραφεὺς διὰ κινναβάρεως ταῦτα: *Ὁ Λόγος οὗτος πάνυ διηκριβωμένως θεολογεῖ τὰ κοινὰ καὶ ἴδια τῶν τριῶν ἁγίων ὑποστάσεων.*

ἁγιωτάτης μητροπόλεως Ναυπλοίου (sic), *παρὰ Ἰωάννου τοῦ Ζυγομαλᾶ, ῥήτορος τῆς αὐτῆς μητροπόλεως, τῷ συντετμημένῳ συνταχθεὶς λόγῳ* (Τοῦτό ἐστι νεωτέρας χειρὸς γραφή, καὶ ἴσως αὐτοῦ τούτου τοῦ Ζυγομαλᾶ, οὗ κτῆμα ὑπῆρχε πιθανῶς καὶ τὸ βιβλίον). Ἄρχεται: *Ἔκτοτε μέν, ὦ φίλη πατρὶς καὶ αἰδέσιμος, ἡνίκα μοι ἡ ἄελπτος ἐκείνη καὶ πέρα δεινῶν φωνὴ τὴν τοῦ κοινοῦ πατρὸς ἐγνώρισε τελευτήν, ἥ μου καὶ τὴν καρδίαν ξίφους διῆλθε δίκην*, κτλ.—Τελευτᾷ: *οὗ γένοιτο τυχεῖν πάντας ἡμᾶς ταῖς τε ἁγίαις εὐχαῖς ἐλέει δὲ καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα τιμή τε καὶ προσκύνησις ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

δ') *Διάλογος Θεοδώρου ἐπισκόπου Καρῶν τὸ ἐπίκλην Ἀβουκαρᾶ γενόμενος πρὸς τὸν τοῦ δρόμου* (1) *Ἐμέσης, αἰτησάμενον ἀπόδειξιν ἀποδοθῆναι αὐτῷ ἀπὸ λογισμοῦ Ὅτι ἔστι Θεός*, κτλ.

ε') *Ἀριστοτέλους Περὶ ψυχῆς τὸ Α' καὶ Β'*. (Ἐκ τοῦ Α' εἰσὶ δύο φύλλα ἀπεσχισμένα).

ς') *Τὰ ὀνόματα, τὰ εὑρεθέντα ἐν τῷ συνοδικῷ γεγραμμένα* κτλ. (Τοῦτό ἐστι τὸ κατωτέρω δημοσιευόμενον).

ζ') *Ἐπιστολαὶ τοῦ Λακαπηνοῦ ΙΔ'* (2) (Ἡ τελευταία ἐστὶν ἀτελής).

η') *Ἔκθεσις νέα ὅπως γράφει νῦν ὁ πατριάρχης τῷ πάπᾳ καὶ τοῖς λοιποῖς πατριάρχαις καὶ ἀρχιεπισκόποις·* κτλ.

(1) Ἐν τῇ ἐκδόσει τοῦ συγγράμματος τούτου, τῶν κριτικῶν τις ἡμαρτημένην, ὡς ἔοικεν, ἐκλαβὼν τὴν γραφὴν ταύτην, ἑτέραν ἐξ εἰκασίας προὔτεινε, τὴν: *Θρόνου*, τουτέστι τοῦ ἐπισκοπικοῦ τῆς Ἐμέσης [ὅρα Migne *Ἑλλην. Πατρολογ.* τόμ. ϞΖ', σελ. 1449 ὑποσημ.]. Ἀλλ' ἡ εἰκασία πάνυ ἀστόχως ἐξενήνεκται. Τῶν ἀτοπωτάτων γάρ ἐστιν ἄντικρυς τὸ ὑπολαβεῖν ἐπίσκοπον ἄνδρα παρ' ἐπισκόπου ἑτέρου ἀπόδειξιν αἰτεῖσθαι, καὶ δὴ ἀπὸ λογισμοῦ, *Ὅτι ἔστι Θεός*. Ἡ γραφὴ ἔχει ὑγιῶς καὶ οὐδαμῶς δεῖται θεραπείας, ἅτε ἐννοοῦσα τὸν τὴν ἐπιστασίαν καὶ ἐπιμέλειαν τοῦ δημοσίου δρόμου ἐπιτετραμμένον, τοῦθ' ὅπερ ἦν πολιτικὸν ἀξίωμα ἐν τῷ Βυζαντινῷ κράτει, ἔχον καὶ ἐν τῇ πρωτευούσῃ ἀνώτατον προϊστάμενον, ὃς ἐκαλεῖτο: *Λογοθέτης τοῦ Δρόμου*, ἀναλογῶν πως τῷ καθ' ἡμᾶς: *Γενικὸς διευθυντὴς τῶν ταχυδρομείων*.

(2) Τοῦ Γεωργίου δηλαδὴ (περὶ τὸ 1350), περὶ οὗ καὶ τῶν αὐτοῦ συγγραμμάτων ὅρα Ἀλλατίου τὴν *Περὶ τῶν Γεωργίων καὶ τῶν αὐτοῖς συγγραφέντων Διατριβὴν* παρὰ Φαβρικίῳ [*Ἑλλην. Βιβλιοθ.* τόμ. Ι', σελ. 700].

θ') *Εἰς τοὺς ἁγίους Ἀποστόλους ἐπιγραφαὶ διὰ στίχων* (Ἔχουσιν ὡς ἑξῆς:).

Σταυροῖ **Πέτρον** *κύμβαχον ἐν Ῥώμῃ Νέρων.*
Ῥώμῃ ξίφει θνήσκοντα τὸν **Παῦλον** *βλέπει.*
Εἰρηνικῷ τέθνηκε **Λουκᾶς** *ἐν τέλει.*
Ζωῆς ὕπνον πρύτανιν ὑπνοῖ **Ματθαῖος.**
Μάρκον *θανατοῖ δῆμος Ἀλεξανδρέων.*
Καὶ μὴ θανὼν ζῇ καὶ θανὼν **Ἰωάννης.**
Σταυροῦσί τε τρεῖς ἄνδρες ὁμῶς **Ἀνδρέαν.**
Νεκροῦσι λόγχαι τὸν **Θωμᾶν** *ἐν Ἰνδίᾳ.*
Βαρθολομαῖος *σταυρικῷ θνήσκει πάθει.*
Καὶ τὸν **Σίμωνα** *σταυρὸς ἐξάγει βίον.*
Μάχαιρα τέμνει τοὺς **Ἰακώβου** *δρόμους.*
Ἴσον Πέτρῳ δίδωσι **Φίλιππος** *μόρον* (1).

ι') *Μαξίμου τοῦ Πλανούδη στίχοι εἰς τὸν ναὸν τοῦ ἁγίου Ἀνδρέου, ὃν ἀνήγειρεν ἡ Πρωτοβεστιαρία* (Εἰσὶ στίχοι ἡρωελεγεῖοι 18) (2).

ια') *Τοῦ αὐτοῦ εἰς τὸ αὐτό* (Ἰαμβικοὶ 35).

ιβ') *Τοῦ αὐτοῦ εἰς τὸ αὐτό* (Ἰαμβικοὶ 46).

ιγ') *Τοῦ αὐτοῦ στίχοι ἐπιτάφιοι* (Ἰαμβικοὶ 26).

ιδ') *Τοῦ αὐτοῦ στίχοι εἰς τὴν ὑπόκρισιν* (Ἡρωελεγεῖοι 14).

ιε') *Τοῦ αὐτοῦ στίχοι πολιτικοί* (Οἱ πάντες 32, ὧν οἱ τελευταῖοι 4 ἐφθαρμένοι).

Ἐνταῦθα τελευτᾷ τὸ χειρόγραφον. Ἰδοὺ δὲ καὶ ἡ ἀναγραφή:

(1) Οἱ στίχοι οὗτοί εἰσιν ἐκ τῶν ὑπὸ τοῦ μητροπολίτου Εὐχαΐτων Ἰωάννου τοῦ Μαυρόποδος ποιηθέντων ἰάμβων *εἰς πίνακας μεγάλους τῶν ἑορτῶν*, οὓς πρῶτος ἐξέδωκε Ματθαῖος ὁ Βοῦστος ἐν Ἐτώνῃ τῷ 1610, καθ' ἡμᾶς δὲ καὶ ὁ Migne ἐν τόμῳ ΡΚ' σελ. 1120-200 τῆς *Ἑλλην. Πατρολογίας*. Μετεχδοῦναι δ' αὐτοὺς ἔγνων ὡς παρέχοντας ἐνιαχοῦ γραφὴν διάφορον.

(2) Ὁ μὲν ναός, ὃν ὁ Παχυμέρης μοναστήριον καλεῖ [Εἰς *Ἀνδρόν. Παλαιολ.* Α', λα'], ἔκειτο ἐν τόπῳ τῆς Κωνστ]λεως *Κρίσει* καλουμένῳ· ἡ δὲ Πρωτοβεστιαρία, ὀνόματι Θεοδώρα, ἦν θυγάτηρ μὲν Ἰωάννου Κανταχουζηνοῦ, ἀνεψιὰ δ' ἐξ ἀδελφῆς Μιχαὴλ Η' τοῦ Παλαιολόγου, καὶ σύζυγος Ἰωάννου Ῥαοὺλ τοῦ πρωτοβεστιαρίου, ὅθεν καὶ Πρωτοβεστιαρία καὶ Κανταχουζηνὴ καὶ Παλαιολογίνα ἐπωνομάζετο. Σημειωτέον δέ, ὅτι οἱ ὑπὸ στοιχ. ι'—ιδ' στίχοι ἐκδέδονται ὑπὸ τοῦ περικλεοῦς Δουκαγγίου ἐν ταῖς εἰς τὸ τοῦ Ζωναρᾶ *Χρονικὸν* σημειώσεσιν αὐτοῦ [τόμ. Β', σελ. 35. Paris· ἐκ τοῦ καλουμένου Θουανείου κώδικος ληφθέντες. Ἐκ τούτου δὲ μετελήφθησαν καὶ ὑπ' Ἀνσ. τοῦ Βανδουρίου ἐν τῷ Imper. Oriental. τόμ. Α', μέρ. γ', σελ. 150.

Τὰ ὀνόματα, τὰ εὑρεθέντα ἐν τῷ συνοδικῷ (1) γεγραμμένα τῶν ἀοιδίμων καὶ μακαρίων ἀρχιερέων καὶ ἐπισκόπων ἡμῶν Ναυπλοίου (sic) καὶ Ἄργους εἰσὶ ταῦται

Πέτρος. Κωνσταντῖνος. Χριστοφόρος. Πέτρος. Ἰωάννης. Νικόλαος. Σισίνιος. Ἀνδρέας. Θεόδωρος. Σισίνιος. Πέτρος. Βασίλειος. Θεοφύλακτος. Σισίνιος. Γρηγόριος. Νικόλαος, ὁ καὶ κτήτωρ τοῦ ἁγίου Ἀνδρέου. Ἰωάννης, ὁ καὶ κτήτωρ τῆς νέας (2). *Γρηγόριος. Κωνσταντῖνος. Θεόδωρος. Λέων. Νικήτας. Ἰωάννης, ὁ ἀναβιβασθεὶς μητροπολίτης ἡμῶν Ναυπλοίου καὶ Ἄργους.*

Ὁ μὲν Λέων ἔκτισε τὸ μοναστήριον τῆς Νέας μονῆς, βασιλεύοντος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ τῷ ,ςχνβ' ἔτει (+1144) (3).

Ὁ δὲ Νικήτας διὰ χρυσοβούλ[λ]ων γραμμάτων τοῦ αὐτοῦ βασιλέως ἔλαβε τὸ πρακτικὸν τῆς ἁγιωτάτης ἐπισκοπῆς Ναυπλοίου καὶ Ἄργους τῷ ,ςχοδ' ἔτει (+1166).

(1) Συνοδικὸν ὁ γραφεὺς ὀνομάζει ἐνταῦθα, ὡς ἔοικε, τὸν ἄλλως λεγόμενον Κώδικα τῆς μητροπόλεως εἴτε ἐπισκοπῆς.

(2) Ἐκκλησίας ὑπονοητέον νομίζω, οὐχὶ: *μονῆς*, ἧς κτήτωρ ἀναφέρεται κατωτέρω ὁ Λέων.

(3) Τὸ μὲν ἔτος τοῦτό ἐστι τὸ πρῶτον τῆς τοῦ Μανουὴλ βασιλείας· ἡ δὲ μονή, ἣν ὁ καθηγητὴς κ. Ζήσιος περιέγραψεν ἐν τῷ *Δελτίῳ* [τόμ. Α', σελ. 522], ἐκδοὺς καὶ τὴν σωζομένην τοῦ κτήτορος ἐπιγραφήν, χρόνον φέρουσαν τὸ ,ςχνζ' (+1149), τανῦν *Ἁγία μονὴ* καλουμένη καὶ ἐπ' ὀνόματι τῆς Ζωοδόχου Πηγῆς τιμωμένη, κεῖται βορειανατολικῶς τοῦ Ναυπλίου ἐν ἀποστάσει ἡμισείας ὥρας περίπου. Οὐδεμία δὲ ἀμφιβολία, ὅτι αὐτὸς οὗτος ὁ Λέων καὶ οὐχ ἕτερός ἐστιν ὁ καὶ ἐν τῇ κατὰ τὸ 1156 συγκροτηθείσῃ ἐν Κωνστ/πόλει Συνόδῳ κατὰ τοῦ ὑποψηφίου πατριάρχου Ἀντιοχείας Σωτηρίχου τοῦ Παντευγένου παραστάς, ὡς ἐν τοῖς Πρακτικοῖς αὐτῆς ἀναγράφεται [Ὅρα τοῦ σοφοῦ καρδινάλεως Ἀγγ. Μαΐου Spicileg. Roman. τόμ. Ι', σελ. 62]. Ἀλλὰ καὶ ὁ χρόνος καθ' ὃν τὸ Ἄργος μητρόπολις ἀνεδέδειχτο, ὀρθῶς ἔχει ἐν τῷ χειρογράφῳ (Ὅρα κατωτέρω), καὶ μάτην ὁ Λεκυιῆνος ἐπειράθη ἀναγαγεῖν τὸ γεγονὸς εἰς τοὺς χρόνους Ἀλεξίου τοῦ μεγάλου· πρόδηλον γάρ, ὅτι ἐξ ἀβλεψίας τοῦ ἀντιγραφέως ἐγράφη τὸ ,ςφϞζ' ἀντὶ τοῦ ,ςχϞζ', ὅπως ἔχει ἐνταῦθα. Τοὐντεῦθεν ἄρα διορθωτέος ἐστὶν ὁ ἐν ἁπάσαις ταῖς μέχρι τοῦ νῦν γενομέναις ἐκδόσεσι τῶν διαφόρων *Ἐκθέσεων τῆς τάξεως τῶν μητροπολιτικῶν κλπ. θρόνων* ἡμαρτημένως φερόμενος χρόνος, μηδ' αὐτοῦ τοῦ τελευταίου ἐκδότου αὐτῶν Gust. Parthey ἐξαιρουμένου. Ἀπορίας δὲ μάλιστα ἄξιον ὅτι, εἰ καὶ τῶν ἐκδοτῶν οἱ πλείους συνεῖδον τὸ τῇ Ἰσαακίου τοῦ Ἀγγέλου βασιλείᾳ ἀσυμβίβαστον τοῦ ἐν ἅπασι τοῖς χειρογράφοις σεσημασμένου χρόνου, οὐδεὶς ὅμως ὑπώπτευσεν ὅτι ἐκ γραφικοῦ παροράματος ἡμάρτηται κατὰ μίαν ἑκατοντάδα, ἤτοι ἀντὶ τοῦ χαρακτῆρος χ ἐγράφη φ. Διορθούσθω προσέτι καὶ τὸ ἀνωτέρω ἐν σελ. 32, ς. 17 τὴν προσοχὴν ἡμῶν διαφυγὸν λογιστικὸν ἁμάρτημα, ἤτοι ἀντί: *ἐπὶ διακοσιετηρίδα*

Ἀνεβιβάσθη δὲ ὁ Ἰωάννης μητροπολίτης ἡμῶν Ναυπλίου καὶ Ἄργους ἐπὶ Ἰσαακίου τοῦ Ἀγγέλου τῷ ,ϛχϟζ' ἔτει (+1189).

Ὁ πρῶτος Πέτρος ἦν ἐν τοῖς χρόνοις τοῦ εὐσεβοῦς βασιλέως τοῦ Μακεδόνος ἐν τῇ Α' καὶ Β' οἰκουμενικῇ ἁγίᾳ Συνόδῳ, πατριαρχοῦντος κυροῦ Φωτίου, τῷ ,ϛτξε' ἔτει (+857) (1), *πατέρες πγ'* [*γρ. τπγ'*], *ὅστις ἐχειροτόνησεν ἱερέα τὸν ἅγιον Θεοδόσιον τὸν νέον*(2).

Καὶ ταῦτα μὲν οὕτω. Τοῖς δὲ τὰ πάτρια διερευνωμένοις λογίοις τῶν Ναυπλιέων καὶ Ἀργείων, καὶ μάλιστα πάντων τῷ ἐλλογίμῳ καθηγητῇ Ζησίῳ, ἀπόκειται ἡ περὶ τῶν ἐν τῇ ἀναγραφῇ ταύτῃ διειλημμένων ἑτέρων δύο ἱερῶν ἱδρυμάτων περαιτέρω διαφώτισις.

ΡΩΜΑΝΟΥ ΒΑΣΙΛΕΩΣ ΤΟΥ ΛΑΚΑΠΗΝΟΥ

ΕΠΙΣΤΟΛΑΙ

ΥΠΟ

Ι. ΣΑΚΚΕΛΙΩΝΟΣ

Ἐν σελ. 657 τοῦ Α' τόμου τοῦ *Δελτίου* τοῦδε ἐξεθέμην δι' ὀλίγων περὶ τοῦ χειρογράφου, ἐξ οὗ ἐδημοσίευσα αὐτόθι τὰς πρὸς Συμεὼν τὸν ἐξουσιαστὴν Βουλγάρων δύο ἐπιστολὰς τοῦ αὐτοκράτορος Ρωμανοῦ τοῦ Λακαπηνοῦ. Τοῦ χειρογράφου δ' ἐκείνου οὐ πρὸ πολλοῦ ἀποσταλέντος μοι παρὰ τῆς κεκτημένης αὐτὸ σεβασμίας μονῆς τοῦ Θεολόγου, τῆς ἐν Πάτμῳ, ὅπως ἐξερευνήσω αὐτὸ ἐπιστατικώτερον, καὶ τὰ παραλελυμένα καὶ συμπεφυρμένα φύλλα συναρμόσω, ἐπελαβόμην τοῦ ἔργου, καὶ τὸν μικρὸν τῆς ἀνέσεως χρόνον περὶ τούτου διατρίβων ἀνεῦρον τὴν συνέχειαν τῆς δευτέρας ἐλλιποῦς ἐπιστολῆς, καὶ ἐπιπλέον

ὡς ἔγγιστα. . . . ἀπὸ τοῦ τέλους τῆς Ι', γραπτέον: *ἐπὶ τριακοσιετηρίδα περίπου. . . . ἀπὸ τοῦ τέλους τῆς Θ'.*

(1) Τὸ ἔτος τοῦτό ἐστιν οὐχὶ τὸ τῆς συγκροτήσεως τῆς Συνόδου, περὶ ἧς ἔφθημεν ἀνωτέρω διαλαβόντες, ἀλλὰ τῆς πρώτης τοῦ μεγάλου Φωτίου πατριαρχίας τὸ πρῶτον.

(2) Ἀναχρονισμὸς φαίνεται κἀνταῦθα. Κατὰ γὰρ τὸν Συναξαριστήν, ἔζη οὗτος κατὰ τὸ 862 ἔτος [Ἴδε Αὐγούστου ζ'], τουτέστιν ὁπότε οὐκ ἦν ἔτι ὁ Πέτρος ἐπίσκοπος, ὡς καὶ ἀνωτέρω εἴπομεν.

καὶ τρίτην ἄλλην τοῦ αὐτοῦ αὐτοκράτορος πρὸς τὸν αὐτὸν Συμεών. Τοσαύτην ὅμως ἐκ τῆς τοῦ χρόνου ἐπηρείας ἔπαθε λώβην τὸ πρῶτον τῆς συνεχείας φύλλον, ὥςτε σχεδὸν κατεστραμμένον ἐστίν, ὡς δεικνύουσιν ἐν τῷ τύπῳ τὰ πολλὰ χάσματα, ἐν οἷς ἐδήλωσα τὰ ἠφανισμένα διὰ στιγμῶν ἰσαρίθμων περίπου τοῖς ἐκλιποῦσι γράμμασι. Τοῖς οὖν περὶ τὴν ἱστορίαν τοῦ ἡμετέρου ἔθνους φιλοσοφοῦσιν ἀφίεται ἡ δέουσα κρίσις τῆς οἰκτρᾶς καταπτώσεως, εἰς ἣν τὸ τηνικαῦτα περιεστήκεισαν τὰ τῆς βυζαντινῆς αὐτοκρατορίας, ἥ τε ἐκτίμησις τῆς ταπεινῆς καὶ μονονουχὶ ἱκετευτικῆς γλώσσης τοῦ αὐτοκράτορος πρὸς τὸν ληστρικὸν ἄρχοντα τῶν ἐπηλύδων ἁμαξοίκων καὶ συβωτῶν.

Ἐν τούτοις δὲ οὐκ ἄτοπον οὐδ' ἄκαιρον ἡγοῦμαι προςθεῖναι ὧδε, ὅτι ἔκ τινων διδομένων ἐπέρχεταί μοι εἰκάζειν μή ποτε ὁ ἀνωνύμως συγγράψας τὴν συνέχειαν τῆς Θεοφάνους *Χρονογραφίας* εἴη Θεόδωρος ὁ Δαφνοπάτης. Ἡ εἰκασία μου δ' αὕτη στηρίζεταί πως ἐν τοῖς ἑξῆς: α') Ὅτι παρὰ Σκυλίτζῃ μνημονεύεται ὁ Δαφνοπάτης μετὰ καί τινων ἄλλων ὡς ἱστορίαν συγγράψας, μέχρι τοῦ νῦν ἄγνωστον ἡμῖν, ἀλλ' οὐδὲ χειρόγραφον γοῦν ἔν τινι τῶν βιβλιοθηκῶν σωζομένην· ἣν ὅμως ψέγει ὁ ῥηθεὶς ταῦτα λέγων: «*Ὁ γὰρ Δαφνοπάτης Θεόδωρος, Νικήτας ὁ Παφλαγών, Ἰωσὴφ Γενέσιος* (παραλείπω τοὺς λοιποὺς συντομίας χάριν), *οἰκείαν ἕκαστος ὑπόθεσιν προστησάμενος, ὁ μὲν ἔπαινον βασιλέως, ὁ δὲ ψόγον πατριάρχου, ἕτερος δὲ φίλου ἐγκώμιον, καὶ ἐν ἱστορίας σχήματι τὸν ἑαυτοῦ ἕκαστος ἀποπληροῦντες σκοπόν, πόῤῥω τῆς τῶν εἰρημένων ἀνδρῶν πεπτώκασι διανοίας. Ἀποτάδην γὰρ τὰ κατὰ τοὺς αὐτῶν χρόνους συνενεχθέντα καὶ μικρὸν ἄνωθεν ἱστορικῶς συγγραψάμενοι, καὶ ὁ μὲν συμπαθῶς, ὁ δὲ ἀντιπαθῶς, ὁ δὲ καὶ κατὰ χάριν, ἄλλος δὲ καὶ ὡς προςετέτακτο τὴν ἑαυτοῦ συνθεὶς ἱστορίαν, καὶ πρὸς ἀλλήλους ἐν τῇ τῶν αὐτῶν ἀφηγήσει διαφερόμενοι, ἰλίγγου καὶ ταραχῆς τοὺς ἀκροατὰς ἐμπεπλήκασιν*» (1). β') Ὅτι ὁ τῆς ἀνωτέρω ῥηθείσης συνεχείας συγγραφεὺς συνέταξε ταύτην ἐκ προστάγματος, ὡς αὐτὸς οὗτος λέγει ἐν τῇ ἐπιγραφῇ τοῦ βιβλίου, Κωνσταντίνου τοῦ Πορφυρογεννήτου· ἐν δὲ τῇ αὐλῇ τοῦ αὐτοκράτορος τούτου ἐτύγχανε τότε ἐν ἀξιώματι ὁ Δαφνοπάτης, ἤτοι πρωτασηκρήτης (= πρῶτος τῶν ἐξ ἀποῤῥήτων) καὶ πατρίκιος, ὀψιαίτερον δὲ καὶ τῆς πόλεως ἔπαρχος, ὡς αὐτὸς ἑαυτὸν ἐπιγράφει ἐν ἑτέρᾳ

(1) Ἰω. Σκυλίτζη προοίμ. ἐν Κεδρηνοῦ Συνόψ. Ἱστορ. ἐκδ. Bonn.

ἐπιστολῇ αὐτοῦ, ἐν τῷ αὐτῷ χειρογράφῳ κειμένῃ (1)· ὁ δ' αὐτός, ὡς ἔφθην ἤδη εἰπὼν ἐν τῷ Α' τόμῳ, ἔγραψε καὶ τὰς ἐκ προσώπου Ῥωμανοῦ τοῦ συμβασιλέως καὶ πενθεροῦ τοῦ Πορφυρογεννήτου ἐπιστολάς, ἐξ ὧν μόνον τὰς πρὸς τὸν Βούλγαρον Συμεὼν ἐξέδωκα. Οὐχ ὅλως ἄρα ἀπίθανον εἰς αὐτὸν τοῦτον ἀναθεῖναι τὸν αὐτοκράτορα τῆς ἱστορίας τὴν σύνταξιν· ὅς μάλιστα καὶ τὴν ὕλην παρέσχεν αὐτῷ πρὸς σύμπηξιν τοῦ ἔργου, ὡς ἐκ τοῦ προοιμίου ἐξάγεται.

γ') Αἱ τοῦ Σκυλίτζη φράσεις: *ὁ μὲν βασιλέως ἔπαινον, ὁ δὲ ψόγον πατριάρχου*, ὑπαινίττονται ἴσως, ἡ μὲν τὸν Δαφνοπάτην, ὡς ἐπαίνοις ἀφθόνοις ἐπιῤῥαίνοντα τὸν Ῥωμανὸν καὶ Κωνσταντῖνον, ἡ δὲ Νικήταν Δαβὶδ τὸν Παφλαγόνα, ὡς ἀπὸ γνώμης κακεντρεχοῦς πολλὰ τοῦ ἱερωτάτου πατριάρχου Φωτίου καταφλυαρήσαντα καὶ καταψευσάμενον, καθ' ἃ δὴ πιστούμεθα καὶ ἐξ ἄλλης αὐτοῦ συγγραφῆς, τοῦ *Βίου τοῦ ἐν ἁγίοις πατριάρχου Ἰγνατίου*. Ἴσως δὲ καὶ ἡ ἑτέρα φράσις τοῦ αὐτοῦ ἱστορικοῦ: *ἄλλος δὲ καὶ ὡς προσετέτακτο*, ἀναφέρεται εἰς τὸν Δαφνοπάτην μᾶλλον ἢ εἰς τὸν Γενέσιον.

δ') Καὶ τελευταῖον, ὅτι οἱ λόγοι, οὓς ὁ Ῥωμανὸς ἀπέτεινε πρὸς τὸν Συμεὼν κατὰ τὴν ἐν τῷ αἰγιαλῷ τοῦ Κοσμιδίου γενομένην συνέντευξιν αὐτῶν, ἀπαντῶσιν αὐτολεξεὶ σχεδὸν καὶ ἐν ταῖς ἐπιστολαῖς. Καὶ τὸν χαρακτῆρα δὲ τοῦ λόγου ἑκατέρων παρεξετάζων πολλὴν εὑρήσει τὴν ὁμοιότητα.

Ἀλλὰ περὶ μὲν τῆς εἰκασίας μου ταύτης γνώτωσαν ὁπωσδηποτοῦν οἱ τὴν κριτικὴν τρυτάνην κατέχοντες. Ἐγὼ δὲ παραπέμπω τὸν ἀναγνώστην εἰς τὴν σελ. 666 τοῦ Α' τόμου, ἔνθα διεκόπη ἡ ἐπιστολή.

Ἀθήνησιν Φεβρουαρίου μεσοῦντος 1885.

. . ου [ἐπι]βουλῆς, ἐχαρισά[μην], εἰ [δ]εῖ σὺν [Θεῷ] φάναι, τὴν ζωήν. [Διά]τοι τοῦτο, καὶ ὡς πιστὸν αὐτοῦ φύλακα καὶ ἐκδικητήν, πατέρα ἑαυτοῦ ἐπεγράψατο, καὶ κοι[νωνὸν] τῆς βασιλείας πεποίηκε. παν . . . . κινήσαντ[ος;] . . . . . . [κη]ρ[ύξαν;]τός

(1) Ἐπιστολὴ τοῦ πατρικίου Θεοδώρου καὶ ἐπάρχου τοῦ Δαφνοπάτου πρός τινα τῶν φίλων αὐτοῦ γαμήλιον ἑορτὴν ἔχοντα. — *Ἐγένετό τι περὶ ἡμᾶς, ὦ φίλων θαυμασιώτατε, προςθήσω δὲ τῷ καιρῷ καὶ μυστικώτατε, ὅπερ, εἰ καί τινι ἄλλῳ, σοὶ μᾶλλον ἀνακαλύπτειν χρεών.*

με ἐκ κ. . . . . [βασι]λέ[ως], καὶ οὐχ ὡς . . . . . πω . . . ., ἀλλὰ . . . . . . καὶ κηδεμόνα π[ρο]σέλαβεν . . . . [τὴν] μάχαιραν ἐστιλβώσαμεν, οὐ . . . . . [βα]σιλέως ἀξιώματος ἀπω . . . . καὶ πόλεις, ἃς μὲν . . . . δορυαλώτους πεποιηκ. . . . . τῆς βασιλείας.ἐπιβησώμεθα . . . . ἀλλ' οὕτως ἡσύχως, ἀθορύβως, ... καὶ εἰρηνικῶς πρὸς τουτονὶ τὸν βασιλικὸν θρόνον ἀνεβιβάσθην. Διά τοι τοῦτο, οὐδὲ ξένος καὶ ἀλλότριος τοῖς εὖ φρονοῦσι λογισθείην. Ἀλλ' εἰ συνορᾶν ἐθέλεις, μία ἐμοὶ κἀκείνῳ δόξα, ὡς πατρὶ υἱῷ ἓν σῶμα καὶ μέλος διὰ τῆς τοῦ γάμου συναφείας γενόμενος, καὶ διὰ τοῦτο καὶ ἡ βασιλεία κοινή. Μᾶλλον μὲν οὖν ἔδει τὰ σεαυτοῦ σκοπεῖν καὶ ἀναλογίζεσθαι, πῶς ἐν υἱοῦ τάξει διατελῶν (1), τῆς πνευματικῆς ἐκείνης ἀποπηδήσας υἱότητος, ὥςπερ πάλαι τῆς φυσικῆς, καὶ τὴν τάξιν συγχέας, καὶ φυρμὸν ἀμφοτέρων πεποιηκώς, ὥςπερ κατὰ πατρὸς νεανιευσάμενος, ἐξ ὧν τὰ δεινὰ τοῦ πολέμου, ἀπεγενν[ήσω;] σκάνδαλον, βασιλέα ἑαυτὸν οὐ μόνον τοῦ ἰδίου ἀνηγόρευσας ἔθνους, ἀλλὰ καὶ αὐτῶν ἐκείνων . . . . οὐ καὶ π[ολλ]άκις σε πνευματικῶς [νουθετ]ήσαντες ἀποστῆναι τῆς τοιαύτης ἐπιφημίσεως, οὐ μόνον οὐδεμιᾶς ἀποδοχῆς [ἠξ]ιώθ[ημεν] παρὰ σοί, τοὐναντίον δὲ μᾶλλον . . . ροὶ ἐλογίσθημεν. Ὑπηγόρευε γὰρ ὁ . . . . . . τὸ γράμμα τῆς σῆς ἀγχινοίας, ὡς. . . . . ἐπιζητοῦντες ἀφορμὴν . . . . περὶ τοῦ τῆς βασιλείας σοι γεγρ[αμμένου] ὀνόματος, καὶ ζητῶ, τίς μᾶλλον φιλονεικίας ἀφορμὴν εὑρέσθαι σπουδάζει, ὁ μὴ μόνον ἐν τῷ ἰδίῳ ἔθνει ἀρκούμενος, ἀλλὰ καὶ τὴν μηδ' ὁπωςοῦν ἁρμόζουσαν αὐτῷ κλῆσιν σφετεριζόμενος, ἢ ὁ παραινῶν σοι καὶ συμβουλεύων τοῖς ἰδίοις ὀψωνίοις ἀρκεῖσθαι (2) καὶ μὴ περαιτέρω προβαίνειν. Πῶς δὲ οὐδὲ ἔκρινέ σου ἡ ὑψηλοτάτη καὶ δραστικὴ φρόνησις, ὡς οὐ περὶ τοῦ μηδόλως καλεῖσθαί σε βασιλέα γεγράφαμεν, ἀλλὰ περὶ τοῦ σεαυτὸν γράφειν βασιλέα Ῥωμαίων, ἐπεὶ καὶ ἐν τῇ ἰδίᾳ πατρίδι ἔξεστί σοι ποιεῖν ὃ βούλει· εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, οὐδ' ἐν αὐτῇ. Πόθεν γάρ σοι τὸ τοιοῦτον προςαρμοσθήσεται ὄνομα; ἀπὸ προγόνων; πάντως αὐτὸς γινώσκεις. Ἀλλ' ἀπὸ τυραννίδος ἢ κατασχέσεως γῆς καὶ συμφώνων ἐνόρκων; οὐκ ἔστι

(1) Ὅρα τοῦ περιοδικοῦ τοῦδε τόμ. Α', σελ. 387 ὑποσημ.

(2) Παρὰ τὸ εὐαγγελικόν· *καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν* [Λουκ. γ', 14.].

τοῦτο βασιλεία, ἀλλ' ἀπληστία· οἶδε γὰρ καὶ τὸ βίᾳ γινόμενον μὴ μένειν εἰς τὸ διηνεκές· οὐκ ἔστι τοῦτο, οὐκ ἔστι, κἂν αὐτὸς σπεύδῃς καὶ ἀγωνίζῃ ξένοις πτεροῖς οἷα κολοιὸς καλλωπίζεσθαι, ἅπερ μετὰ μικρὸν διαῤῥυέντα φανερώσουσι μὲν τὴν ἀπὸ γένους σοι προςήκουσαν κλῆσιν, τὸ δ' ἐπίπλαστον καὶ νενοθευμένον τῆς σῆς διελέγξουσι γνώμης. Πῶς δὲ καὶ δύο βασιλεῖς ἔσονται, καθὼς αὐτὸς ματαιοπονεῖς, καὶ γένει διεστηκότες, καὶ τρόποις διῃρημένοι, καὶ τιμῇ βασιλείας ὑπερκείμενοι; Μετὰ ποίων δὲ καὶ Ῥωμαίων εἰρηνεύσεις σεαυτὸν ἀποκαλῶν βασιλέα Ῥωμαίων, τούτων μὴ διῃρημένων; ὧν γάρ τις ἐστὶ κύριος, οὐκ εἰρηνεύει μετ' αὐτῶν, ἀλλ' ἐξουσιάζει. Καὶ εἰ ἐξουσιάζειν ζητεῖς, οὐκ εἰρηνεύειν ἐπιποθεῖς.

Ἐπειδὴ δὲ καὶ τοῦτο προςτέθεικας, ὡς πολλάκις ἀκούσαντες περὶ τούτου καὶ σιωπήσαντες, πάλιν περὶ αὐτοῦ σοι γεγράφαμεν, νῦν ἀποκρινούμεθα σὺν ἀληθείᾳ. Ἐβουλόμεθα οἴκοθεν ἐπιγνῶναί σε τὸ τοιοῦτον τῆς εἰρήνης πρόςκομμά τε καὶ σκάνδαλον, καὶ καλῶς τὸ κακὸν ἐννοήσαντα πρὸς διόρθωσιν αὐθαιρέτως ἐλθεῖν· ἐπεὶ δὲ τοῖς αὐτοῖς σε κατείδομεν ἐπιμένοντα καὶ οὐδαμῶς πρὸς τὸ ἀγαθὸν ἀνανεύοντα, τηνικαῦτα ὡρμήθημεν γράψαι σοι περὶ αὐτοῦ, ἴσως τῇ δικαίᾳ ταύτῃ ἐπιπλήξει διορθώσομέν σου τὸ σφαλλόμενον. Ἐπὶ δὲ τούτοις προςέκειντο καὶ ταῦτα, — Πῶς οὐ στενοχωρούμεθα ῥογεύοντες καὶ ἀννωνεύοντες(1) τὰ παραθαλάσσια κάστρα. — Καὶ βούλομαί σε γενόμενον σεαυτοῦ ἐπιγνῶναι, ὡς ἡμεῖς τὰς τοιαύτας ἐξόδους καταβαλλόμενοι ὡς ὑπὲρ τῶν οἰκείων καὶ πονοῦντες καὶ κάμνοντες, οὐκ ἔξω τι τοῦ δέοντος διαπραττόμεθα. Ἃ γὰρ παρὰ τῶν πρὸ ἡμῶν ἐδεσπόζετο βασιλέων, ταῦτα καὶ παρ' ἡμῶν διακρατεῖται καὶ φροντίζεται, ὥςπερ εἰ ἀλλοτρίων ἐπεμελούμεθα ἐπισφαλὲς ἦν καὶ ἐπίψογον· οἷός περ εἴ καὶ ὁ πνευματικὸς ἡμῶν ἀδελφός, τὸν μυθικὸν ἐκεῖνον ποιμένα μιμούμενος· ὃς ἐν ὥρᾳ χειμῶνος τὰ ἴδια, ὡς ἐδόκει, περιποιούμενος θρέμματα, σπηλαίῳ εἰςελάσας, κἀκεῖσε ἀγρίους (sic) αἶγας εὑρών, καὶ ταύταις τροφὴν παρατιθέμενος ὡς ἂν ἡμερωτέρας ἐργάσοιτο, τῶν δὲ ἰδίων καταμελῶν, ἔλαθεν ἑαυτὸν λιμῷ μὲν θανατώσας τὰ ἴδια, ἀπο-

(1) Ἀμφότερα τὰ ῥήματα ταῦτα ἐπλάσθησαν ἐκ τῶν λατιν. Erogo (ἑλλην. ἀπονέμω, δίδωμι χρήματα) καὶ Annona (=σιτηρέσιον). *Ῥογεύειν* ἄρα ἐστὶ τὸ τοὺς στρατιώτας μισθοδοτεῖν· *ἀννωνεύειν* δὲ τὸ τὰ φρούρια ἐπισιτίζειν, σιταρκεῖν.

τυχὼν δὲ καὶ τῶν αἰγῶν δι᾽ ἀγριότητα (1)· ὅπερ οἶμαι καὶ μᾶλλον τὸν πνευματικόν μου παθεῖν ἀδελφόν. Καὶ γὰρ ὁ ἐπ᾽ ἀλλοτρίοις ἀσχολούμενος πράγμασι καὶ πονῶν ἐν αὐτοῖς, μείζονα τοῦ ἀπ᾽ αὐτῶν κέρδους τὴν ζημίαν ὑφίσταται.

Καὶ τοῦτο δὲ πρὸς τῷ παρὰ σοῦ γραφέντι ἀνταπολογούμεθα. Ἐπεὶ γὰρ ἔφησας πρέπον εἶναι τὸν μὴ κρατοῦντα παρὰ τοῦ κρατοῦντος ζητεῖν, τοῦτο ἀληθὲς ἡγούμενοι, παρὰ σοῦ τοῦ τὴν ἡμετέραν γῆν βίᾳ καὶ πολέμῳ κατέχοντος, ταύτην ἀποδοθῆναι ἡμῖν ἐπιζητοῦμεν· διὰ γὰρ τοῦτο καὶ τὴν πρὸς τὸν πνευματικόν μου ἀδελφὸν ἀγάπην ἐπιποθοῦμεν. Εἰ δέ γε δικαίως καὶ φιλαλήθως συλλογίσασθαι βούλει, γνώσῃ ὡς τὰ ἀλλότρια, καὶ περὶ ὧν συμφώνοις ἐνόρκοις κατεῖχου, ταῦτα μηδέποτε ἀφελέσθαι σπεύδεις τοῦ κατέχειν, οὐ κατέχεις. Ἃ γὰρ ὀψέ ποτε ἀκουσίως μέλλεις ἀποδιδόναι, τί ὡς ὑπὲρ [ο]ἰκ[είων] ἀγωνίζῃ; ἵνα μηδὲ τὸν βίον καταλύων, μνήμην ἀγαθὴν ἀπολίπῃς, ἀλλ᾽ αἰωνίζουσαν κακίαν; ἣν φεύγειν πάσῃ δυνάμει παραινῶ τῷ πεποθημένῳ μου ἀδελφῷ, καὶ ἀγαθὴν ἀκοὴν ἀντὶ πονηρᾶς τῷ βίῳ καταλιπεῖν. Τίνων γὰρ αἱ μνῆμαι μετ᾽ ἐγκωμίων ἐξᾴδονται καὶ εἰς ἀεὶ μακαρίζονται; οὐχὶ τῶν εἰρηνικῶς ζησάντων; Τίνων καὶ αὐτὰ τὰ ὀνόματα βδελυκτὰ μέχρι τοῦ νῦν διαφημίζονται; οὐ τῶν εἰρήνην ἀπωσαμένων καὶ τὸ φιλόνεικον ἑλομένων; Διὰ ταῦτα οὖν χρή σε, πνευματικέ μου ἀδελφέ, ἀποθέμενον τὰ περιττὰ καὶ ἀνόνητα καὶ οὐ τοσοῦτον τὸ σῶμα περιποιούμενα, ὅσον τὴν ψυχὴν διαφθείροντα, γενέσθαι ποτὲ τῆς εἰρήνης καὶ τῆς ἀγάπης, δυςωπούμενος εἰ μή τι ἄλλο, ἀλλά γε τὰς ἱερὰς ταύτας καὶ θείας ἡμέρας, ἐν αἷς καὶ δαίμονες φρίσσοντες, τὸν πρὸς ἀνθρώπους διηνεκῆ καταπαύουσι πόλεμον. Τί χεῖρον τοῦ πονηροῦ, ὅς ἐστι κακίας πάσης δημιουργός; ἀλλὰ καὶ οὗτος νυνὶ φρίσσει καὶ τρέμει, καὶ τῶν πρὸς ἀλλήλους εἰρηνευόντων ἀφίσταται. Ἔκπληξις οὖν με καὶ θάμβος κατέχουσι διενθυμούμενον, πῶς οὕτως ἀνειρηνεύτως καὶ ἐχθρωδῶς τὸ τῶν ἁγίων τούτων ἡμερῶν διέλθοις (2) στάδιον, κρεῶν μὲν ἀπεχόμενος, τῶν δὲ τοῦ ἀδελφοῦ σαρκῶν ἐμπιπλώμενος, καὶ φιλονεικίαις ἐπεντρυφῶν καὶ ἔρισι· πῶς τὴν παναγίαν καὶ ζωοποιὸν τοῦ Χριστοῦ κατόψει ἀνάστασιν, οὕτω πρὸς τὸν ἀδελφὸν ἀπεχθῶς διακείμενος· πῶς τῆς ἀχράντου καὶ ὑπὲρ ἡμῶν τυθείσης σαρκὸς αὐτοῦ

(1) Ἴδε Κοραῆ *Μύθ. Αἰσωπ. Συναγ.* μῦθ. 150.
(2) Τὸ χειρόγρ.: *Διέλθοι.*

μεταλάβῃς ὅλος ὢν ἡμαγμένος, ὅλος κεκηλιδωμένος καὶ πάντοθεν κατεσπιλωμένος· ποίαις χερσὶ τὸν οὐράνιον καὶ ὑπέρλαμπρον ἐκεῖνον ὑποδέξῃ μαργαρίτην, ὅς τοὺς ἀξίως αὐτὸν μεταλαμβάνοντας δικαιοῖ, τοὺς δ' ἀναξίως ὑποδεχομένους κατακρίνει. Ἴδε, πνευματικέ μου ἀδελφέ, ἐπὶ ποίαν χαρὰν μέλλεις καταντῆσαι, καὶ μὴ δι' ἐπιθυμίαν παρερχομένην τῆς ἀφράστου ἐκείνης στερηθήσῃ ἀγαλλιάσεως. Μέλη ἀλλήλων ἐσμέν. Γενώμεθα διὰ τῆς εἰρηνικῆς συμβάσεως ἓν σῶμα, ἵνα καὶ συναρμολογηθῶμεν Χριστῷ τῇ πάντων κεφαλῇ.

Ἐπεὶ δὲ καὶ δώροις ἔφης αὔξεσθαι καὶ κρατύνεσθαι τὴν ἀγάπην, φαμέν, ὡς ἡ ἀληθὴς ἀγάπη οὔτε δώροις ἐπικήροις αὔξεται, οὔτε λοιπαῖς φιλοφρονήσεσι περικρατεῖται, ἀλλὰ μόνῃ προαιρέσει κατορθοῦται· ὡς οἵ γε δώροις τὴν τοῦ Θεοῦ ἀγάπην κτᾶσθαι σπουδάζοντες, συμμέτοχοι τῆς τοῦ Σίμωνος τοῦ μάγου κατάρας ἔσονται, ὡς τὴν δωρεὰν τοῦ Θεοῦ διὰ χρημάτων κτᾶσθαι οἰόμενοι. Ἐὰν οὖν αὐτὸς ἐξ ἀγαθῆς προαιρέσεως τὴν εἰρήνην ἀσπάσῃ καὶ τὴν ἀγάπην, φανούμεθα καὶ ἡμεῖς περὶ σὲ μεγαλόδωροι, μηδενὸς φειδόμενοι τοῦ εἰς δύναμιν ἡμῖν ἥκοντος. Ὅσα μὲν οὖν διὰ τῶν πρώην μεμηνύκαμέν σοι γραμμάτων, ταῦτα καὶ διὰ τῶν νυνὶ ἐπιβεβαιοῦμεν. Εἰ μὲν ὡς ἀληθὴς χριστιανός, καὶ διὰ τὴν σωτηρίαν τῆς σεαυτοῦ ψυχῆς, ἀλλ' οὐχ ἕνεκέν τινος κέρδους βιωτικοῦ τὴν εἰρήνην ἐπιζητεῖς, ἀποδιδοὺς ἡμῖν τήν τε γῆν ἡμῶν πᾶσαν καὶ τὰ ἐν αὐτῇ κάστρα, γράψον ἡμῖν, καὶ ἀποστελοῦμεν ἀνθρώπους τοὺς τῷ τοιούτῳ ἔργῳ διακονήσοντας. Ἕως δ' ἂν τὰ αὐτὰ οὐκ ἀποδίδως, οὐδὲ περὶ τῶν δεόντων συμφώνων γράφεις ἡμῖν, μὴ ἔλπιζε τοιαῦτά σοι δοθῆναί ποτε παρ' ἡμῶν, πλὴν ἑκατὸν καὶ μόνα σκαραμάγγια (1) εἰς προσθήκην τῶν προτέρων στοιχημάτων. Λόγων γὰρ εἰρηνοποιῶν εἰς μέσον μὴ προκειμένων, τίς ἡ ὠφέλεια τῶν ἀποστελλομένων, ὅπου γε καὶ ἀμφοτέρων ἡμῶν αὐτοψεὶ καθομιλησάντων, οὐδὲν τῶν [εἰς] (2) εἰρήνην συντεινόντων ἐγένετο.

Ἐγὼ μὲν οὖν ἤλπιζον, πνευματικέ μου ἀδελφέ, ὡς εἰ πρὸς ἀλλήλους εἰρηνεύσομεν καὶ ὁμονοήσομεν, ὅς ἂν ἐξ ἡμῶν προκαταλύσῃ τὸν βίον, καταλείψει τὸν ἕτερον τῶν ἑαυτοῦ παίδων προνοητήν τε καὶ φύλακα καὶ δεύτερον πατέρα πνευματικόν· ἀλλ' ἐπεὶ Θεὸς τοῦτο γενέσθαι οὐκ εὐδοκεῖ, οὐδ' ἡμεῖς τῇ βουλῇ αὐτοῦ ἀντιπίπτομεν. Ἐπικα-

(1) Ὅρα τὴν ἐν σελ. 664 τοῦ Α' τόμου ὑποσημείωσιν.
(2) Προςέθηκα ἀγκύλαις περικλείσας τὴν προδήλως ἐκπεσοῦσαν πρόθεσιν.

λούμεθα δὲ αὐτὸν βοηθῆσαι ἡμῖν ἐν καιρῷ θλίψεως, καὶ γενέσθαι ὑπερασπιστὴν καὶ ἀντιλήπτορα, καὶ ἐπ' αὐτὸν τὰς ἐλπίδας τιθέαμεν, καὶ παρ' αὐτοῦ τὴν ἐκδίκησιν ἐξαιτούμεθα.

Τῷ αὐτῷ Συμεὼν ἄρχοντι Βουλγαρίας.

Ἰδοὺ καὶ πάλιν ἐγὼ πρὸς τὴν ἀρχαίαν συνήθειαν ἐπανέρχομαι, καὶ τὴν παλαιὰν εἰρήνην ζητῶν οὐκ ἀφίσταμαι. Εἰ γὰρ εἰς ὦτα μὴ λέγειν οὐκ ἀκουόντων ἡ παροιμία διακελεύεται, ἀλλ' ὁ Χριστὸς φιλάνθρωπος ὤν: *τῷ κρούοντι*, φησίν, *ἀνοιγήσεται* (1). Καὶ εἰ τὸν πολλαχῶς νουθετούμενον καὶ μὴ ὑπακούοντα καταλιμπάνειν ὁ Ἀπόστολος ἔφησεν (2), ἀλλ' ἐπιμένειν, καὶ παρακαλεῖν, καὶ ἐπιπλήττειν ὁ αὐτὸς μετὰ ταῦτα ἐπέτρεψεν (3), ἴσως ἐκ τῆς τοιαύτης ἐπιμονῆς καὶ παρακλήσεως τὸ σπουδαζόμενον γένηται. Τούτους καὶ ἡμεῖς μιμούμενοι οὐ σιωπήσομεν κρούοντες, καὶ περὶ τῶν αὐτῶν ἀπαύστως παρακαλοῦντες καὶ ἐπιπλήττοντες, ἕως ἂν τοῦ πνευματικοῦ μου ἀδελφοῦ τῶν οἰκτιρμῶν τὰ σπλάγχνα διανοιχθῇ. Εἰ γὰρ μικρὰ ῥανὶς ἀποστάζουσα σκληρότητα λίθου καταδαπανᾷ, πῶς οὐχὶ μᾶλλον καρδίαν συνετὴν παράκλησις εἰρηνοποιός, καὶ λόγος παραινετικὸς ἁπαλῦναι καὶ καταμαλάξαι δυνήσεται; ἐπεὶ καὶ ἀδελφοὶ μικρὸν πρὸς ἀλλήλους φιλονεικήσαντες διηλλάγησαν· καὶ πατέρες παῖδας ὀργισθέντες, μετὰ ταῦτα πρὸς ἑαυτοὺς εἰρήνευσαν. Ἡ γὰρ φιλονεικία διὰ μικροψυχίας γινομένη, ὑπὸ μεγαλοψυχίας καὶ εἰρηνικῆς καταστάσεως διαλύεται. Ἡμεῖς δὲ τούτων καταμελοῦντες τῶν παραινέσεων, πρὸς αἱματεκχυσίας καὶ ὅπλα καθ' ἑκάστην χωροῦμεν. Τίς ἡ ὠφέλεια; τί τὸ κέρδος; ποῖα τὰ ἐκ τῶν αἱμάτων ἀναφαινόμενα ἀγαθά; Εἰ γὰρ ἀδελφικὸν αἷμα ἀδίκως ἐκχυθὲν ὁ Θεὸς ἐβδελύξατο, καὶ τὸν ἐργάτην τοῦ φόνου στένειν καὶ τρέμειν ἐπὶ τῆς γῆς κατεδίκασε (4), νῦν οὐχ ἑνός, ἀλλὰ μυρίων ἀδελφῶν καθ' ἑκάστην ὑπ' ἀλλήλων ἀναιρουμένων, τί περὶ τούτου διαλογίζῃ τὸν Θεὸν διανοεῖσθαι; Ὢ πόσον ἴσχυσε τοῦ ἀντικειμένου ἡ συνεργία! Ὢ πόσον ὄλεθρον ἀναμεταξὺ ἡμῶν ἐπεισήγαγε! Βαβαί, πῶς ὄνειδος

(1) Ματθ. ζ', 8.
(2) Τίτ. γ', 10.
(3) Β' Τιμ. δ', 2.
(4) Τουτέστι τὸν Κάϊν [*Γεν.* δ', 12].

καὶ ἐπίχαρμα τοῖς γείτοσι καὶ τοῖς ἐχθροῖς ἡμῶν ἐγενόμεθα! (1) Μάθωμεν κἂν ὀψέ, πνευματικέ μου ἀδελφέ, ὅτι οὐ πρὸς τὸ κατασφάττειν ἀλλήλους παρὰ Θεοῦ ἐπλάσθημεν. Εἰς δοξολογίαν παρήχθημεν· εἰς κατανόησιν τῶν παρ᾽ αὐτοῦ γενομένων κτισμάτων· εἰς γνῶσιν ἀληθινῆς πίστεως καὶ ἐργασίαν τῶν ἐντολῶν αὐτοῦ. Τάχα κατηγορήσουσιν ἡμῶν καὶ τὰ θηρία, ὅτι αὐτὰ μὲν πολλάκις τῶν θνησιμαίων σκηνωμάτων οὐχ ἅπτονται, ὥςπερ τὸν ἑαυτῶν ἀρχηγὸν εὐλαβούμενα· ἡμεῖς δὲ καὶ μεληδὸν τοῦτον τῷ ξίφει καταμερίζομεν, καὶ τῶν θηρίων ὠμότεροι καὶ ἀσυμπαθέστεροι καθεστήκαμεν. Μή, πνευματικέ μου ἀδελφέ, μὴ εἰς τοσαύτην ἀλογίαν ἔλθωμεν, ὥςτε τὰ μὲν θηρία τὴν ἡμετέραν ἔχειν διαγωγήν, καὶ πρὸς ἑαυτὰ εἰρηνεύειν, καὶ εὐγνωμονέστερα δείκνυσθαι, ἡμᾶς δὲ τὴν ἐκείνων ἀσπάζεσθαι ἀγριότητα· ἀλλὰ τοιαύτην εἰρήνην καὶ ἀγάπην ἐπιδειξώμεθα, ὡς παραζηλῶσαι ταύτην τὰ κύκλῳ ἔθνη καὶ πρὸς θεογνωσίαν ἐπείγεσθαι. Πῶς γὰρ πιστεύσουσιν οἱ μὴ Θεὸν γινώσκοντες, ὅτ᾽ ἂν αὐτοὺς εἰρηνεύειν διδάσκοντες, αὐτοὶ ἃ διδάσκομεν οὐ ποιοῦμεν; Ἵνα τί ἀμφοτέρων ἡμῶν ὁ λαός, οἱ μὲν ἐν αἰχμαλωσίᾳ καὶ φυλακαῖς καταθλίβονται, οἱ δὲ καὶ πρὸς δουλείαν παρ᾽ ὑμῶν ἀπίστοις ἔθνεσιν ἐξεδόθησαν; Ποῖα στενάξω καὶ κλαύσωμαι; τῶν αἰχμαλώτων τὴν κακουχίαν, ἢ τῶν θανόντων τὴν ἀπειρίαν; τῶν ὀρφανευθέντων τὸν στεναγμόν, ἢ τῶν ἐλεεινῶν χηρῶν τὰ δάκρυα; τὴν ἐρημίαν τῆς γῆς, ἢ τῶν πολέμων τὴν καταστροφήν; Πόσα Θεοῦ θυσιαστήρια κατεσκάφησαν! Πόσοι ἱερεῖς καὶ μονάζοντες, οἱ μὲν τὴν θείαν ἐπιτελοῦντες μυσταγωγίαν, οἱ δὲ τὴν ἱερὰν δοξολογίαν ἐπὶ στόματος ἔχοντες ἀπεκτάνθησαν. Τῆς ἀνοχῆς σου Κύριε τοῦ ἐλέους!

Διὰ ταῦτα οὖν πάντα, πνευματικέ μου ἀδελφέ, οὐδενὸς τῶν κατὰ δύναμιν ἐφεισάμην ἢ φείσομαι, οὐ χρυσοῦ, οὐκ ἀργύρου, οὐχ (2) ἱματίων πολυτελῶν, οὐκ ἄλλου τινὸς ἀναγκαίου πράγματος. Πάντα γὰρ τὰ πρέποντα ἐποιήσαμεν. Ἁγίους ἄνδρας εἰς παράκλησιν ἀπεστείλαμεν (3). Πρεσβευτὰς πρὸς εἰρήνην λέγοντας ἐξεπέμψαμεν. Δῶρα τὰ μὲν προθύμως δεδώκαμεν, τὰ δὲ προθυμότερον ἐπηγγειλάμεθα δοῦναι, εἴπερ εἰρηνεύειν κατανεύσει ἡ σὴ ἀδελφότης. Πρὸς ἀλλήλους ἡνώθη-

(1) Παρὰ τὸ Δαυϊτικόν: *Ἐγενήθημεν εἰς ὄνειδος τοῖς γείτοσιν ἡμῶν* [*Ψαλμ.* οη',4].
(2) Τὸ χειρόγρ. *Οὐκ.*
(3) Ἴδε τὰ ἐν σελ. 661 τοῦ Α' τόμου ὑποσημειούμενα.

μεν. Τὰ τῷ Θεῷ ἀρέσκοντα ὡμιλήσαμεν. Ὁ χρόνος παρέρχεται. Τὸ τέλος τῆς ζωῆς ἄδηλον. Τὸ μέλλον κριτήριον ἀπαραίτητον. Λοιπὸν τί ἕτερον ὑπολέλειπται ἢ τὸ εἰρηνεύειν καὶ τῆς ἀλλήλων ἀγάπης καταπολαύειν; Οὐκοῦν παρακλήθητι, πνευματικέ μου ἀδελφέ, καὶ εἰ μὴ διὰ ταῦτα βούλει ὑπακοῦσαι, ἀλλ' οὖν διὰ τὴν τοῦ Θεοῦ ἐντολήν· εἰ δὲ καὶ ταύτης παρακούσεις, τίνα σοι ἀξιοπιστότερον σύμβουλον τοῦ Θεοῦ προςενέγκωμεν; Οἰκτείρησον τέκνων πατέρας, ἐπεὶ καὶ αὐτὸς πατὴρ ἐγένου. Ἐλέησον τέκνα πατέρων, διότι περ τέκνα σοι ὁ Θεὸς ἐχαρίσατο. Ἐπικάμφθητι βρεφῶν ὀδυρμοῖς, ἐπεὶ καὶ αὐτὸς βρέφος ἐγένου, καὶ παῖδας ἔσχες, καὶ μαστὸν ἐθήλασας, ἵνα καὶ ἄλλους ἐκ τῶν ἰδίων πιστεύῃς. Κόρος ἐστί, πνευματικέ μου ἀδελφέ, καὶ τῶν κακῶν ὥςπερ καὶ τῶν καλῶν. Εἰ οὖν τὰ καλά, καὶ πρὸ τῆς πείρας ἔχοντα τὴν ἡδονήν, μετὰ τὴν γεῦσιν κόρον ποιεῖ, τὰ δὲ πρὸ τῆς πείρας ἔχοντα τὴν ἀηδίαν, πῶς οὐ μετὰ τὴν γεῦσιν ἀηδέστερα φανήσονται καὶ κόρον ποιήσουσι; Πολέμου δὲ ἀδελφῶν οὐδὲν ἐπίσταμαι ἀηδέστερον καὶ βαρύτερον. Γνῶθι, γλυκύτατέ μου ἀδελφέ, ὅτι ἄλλων ποιησάντων τὴν ἀπαρχὴν τοῦ πολέμου, καὶ παρὰ Θεοῦ δικαίως ἐξολοθρευθέντων, ἄδικόν ἐστι τὸν κοινὸν λαὸν μηδὲν ἀδικήσαντα κατασφάττεσθαι. Μὴ χείρονες βαρβάρων τῇ διαθέσει φανῶμεν, οἵτινες κἂν ὁπωσοῦν μεθ' ἡμῶν εἰρηνεύοντες, καὶ ἀλλαγὴν αἰχμαλώτων ποιοῦντες, ὡς μὴ τελείας ὄντες πίστεως, οὐδὲ τελείαν εἰρήνην ἀσπάζονται. Σὺ δέ, πνευματικέ μου ἀδελφέ, τελείας καὶ ὀρθοτόμου πίστεως ὢν ἐραστής, διατί μὴ πρὸς εἰρηνικὰς καὶ ἀδιαλύτους συμβιβάσεις συνέρχῃ; *Ἔκκλινον γὰρ ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν*, ὁ Δαυὶδ μεθ' ἡμῶν ἐπιστέλλει σοι· *Ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν* (1). Ἄχρηστος πνευματικέ μου ἀδελφέ, ἡ ἐν τῇ ὥρᾳ τῆς τελευτῆς μεταμέλεια. Πρὶν ὁ θάνατος ἐπιστῇ, τὸ ἀγαθὸν ποίησον, μήπως αἰφνιδίως ἀναρπασθῇς, καὶ κατάκριμα μέγα τῇ σεαυτοῦ προξενήσῃς ψυχῇ.

Ἀλλ' ἐγὼ μέν, πνευματικέ μου ἀδελφέ, εἰ καὶ τοιαῦτα γράφω, οἶδα ὅτι μεταμεληθήσῃ, καὶ πρὸς εἰρήνην αὐτομολήσῃς· οὐ γὰρ ἐνδέχεται ῥίζης θεοσεβοῦς ὄντα σε μὴ ὁμοίους αὐτῆς καὶ τοὺς καρποὺς ἐκβλαστῆσαι. Μεταμεληθήσῃ δὲ οὐ ψευδῶς, οὐ δολερῶς, ἀλλ' ἀδόλως καὶ ἀληθῶς, μὴ κρυπτῶς σχηματιζόμενος, μὴ περὶ τῆς τοῦ πλείονος κατασχέσεως ἀνταγωνιζόμενος, μὴ περὶ τῆς τοῦ ἐλάττονος δόσεως

(1) *Ψαλμ.* λγ', 15.

ἀντικαθιστάμενος, μὴ περὶ τῶν ἀδυνάτων πολυπραγμονῶν καὶ πολυλογούμενος, ἀλλὰ περὶ τῶν δυνατῶν καὶ ζυγοστατῶν, καὶ διαλεγόμενος. Ὅρια γάρ, ἃ οἱ πατέρες ἡμῶν καλῶς καὶ δικαίως ἐξέθεντο, τίς οὕτως θρασύς, ὅς καταλύσει καὶ ὑπερβήσεται (1); Ἵνα οὖν, πνευματικέ μου ἀδελφέ, μὴ ὑπὲρ τούτων πάντων ἐκεῖθεν λόγον ἀπαιτηθῶμεν, ἐάσωμεν τὴν ἄκαιρον πλεονεξίαν, καὶ τὴν δέουσαν αὐτάρκειαν ἀγαπήσωμεν, καὶ εἰρήνη μεσιτευσάτω, καὶ ὁ Θεὸς δοξασθήτω. Εἰ τοῦτο θελήσεις, πνευματικέ μου ἀδελφέ, ποιῆσαι, ὄψει τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας (2), καὶ συγχαίροντας ἐπὶ τῇ παρὰ σοῦ πρὸς ἡμᾶς εἰρήνῃ καὶ ὁμονοίᾳ, συνεργίᾳ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ τὰ διεστῶτα τῷ οἰκείῳ εἰρηνοποιήσαντος αἵματι. Ἀμήν.

ΘΕΟΔΩΡΟΣ Ο ΠΟΤΑΜΙΟΣ

ΚΑΙ Η ΕΙΣ ΙΩΑΝΝΗΝ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ ΜΟΝΩΔΙΑ ΑΥΤΟΥ

Ἀναμφισβήτητος εἶνε ἡ ἀξία ἣν ἔχουσι διὰ τὴν ἱστορίαν οἱ παντοῖοι λόγοι οἱ περισωθέντες εἰς ἡμᾶς ἐκ τῶν βυζαντιακῶν χρόνων, περὶ ὧν καὶ ἄλλοτε ἐποιησάμην λόγον διὰ μακροτέρων (3). Συλλογή τις αὐτῶν ὅσον ἔνεστι πλήρης καὶ μεθοδικῶς κατατεταγμένη ἤθελεν ἐν πολλοῖς διαφωτίσει τὴν βυζαντιακὴν ἱστορίαν. Ἀλλ' ἐπὶ τοῦ παρόντος εὑρισκόμεθα ἔτι ἐν τῷ σημείῳ τῆς καθ' ἑκάστους δημοσιεύσεως τῶν τοιούτων λόγων, πανηγυρικῶν, εἰσιτηρίων, πρεσβευτικῶν, μονῳδιῶν καὶ ὅπως ἂν ἄλλως ἐπιγράφωνται. Τούτων εἶνε καὶ ἡ *μονῳδία εἰς τὸν βασιλέα κῦρ Ἰωάννην τὸν Παλαιολόγον*, *ἐκδοθεῖσα παρὰ Θεοδώρου τοῦ Ποταμίου*, ἧς τὸ πρῶτον ἥμισυ, σωζόμενον ἐν τῷ ὑπ' ἀρ.

(1) Παρὰ τὸ Σολομώντειον: *Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου* [*Παροιμ.* κβ', 28].

(2) Καὶ τοῦτο παρὰ τὸ εὐαγγελικόν. [Ἰωάν. α', 52].

(3) Μιχαὴλ Ἀκομινάτου Τόμ. Α'. σελ. ιβ', μα'-με'.

Phil. CCXLV κώδικι τῆς ἐν Βιέννῃ αὐτοκρατορικῆς βιβλιοθήκης, ἐξέδωκεν ὁ κ. Κωνσταντῖνος Σάθας ἐν τῷ πρώτῳ τόμῳ τῆς Μεσαιωνικῆς Βιβλιοθήκης (1). Ἀλλ' ἡ αὐτὴ μονῳδία εὕρηται καὶ ἐν τῷ ὑπ' ἀρ. 10 λαυδιανῷ κώδικι τῆς ἐν Ὀξωνίῳ βοδληιανῆς βιβλιοθήκης (2), ἐξ οὗ ἐν ἔτει 1876 ἀντέβαλον μὲν τὸ ἤδη ὑπὸ τοῦ Σάθα ἐκδεδομένον μέρος, ἀντέγραψα δὲ καὶ τὸ ἐπίλοιπον μέχρι τοῦ τέλους. Εἶνε δ' ὁ ὀξωνιακὸς κῶδιξ γεγραμμένος εἰς 4ον ἐπὶ χάρτου μέρος μὲν κατὰ τὸν ιδ', μέρος δὲ κατὰ τὸν ιε' αἰῶνα. Κατὰ τούτους δὲ δημοσιεύω ἐνταῦθα τὴν μονῳδίαν ὁλόκληρον, τὰς μὲν διαφόρους γραφὰς παρὰ τῷ Σάθᾳ σημειόνων διὰ τοῦ Σ, τὰς δ' ἐπανορθουμένας γραφὰς τοῦ ὀξωνιακοῦ κώδικος διὰ τοῦ Λ (3).

Ἔχει δὲ ἡ μονῳδία ὡς ἑξῆς·

«Ἐμοὶ μέν, ὦ παρόντες, τρόπαια καὶ νίκας κατὰ βαρβάρων καὶ γεννεῖα βουλεύματα κατ' ἐχθρῶν καὶ πόλιν ἀνάστατον, ἀοίκητόν τε γῆν ὑπὸ πολλῶν ἐκ παλαιοῦ γεγονυῖαν καὶ νῦν οἰκουμένην καὶ τριήρεις [ἐν] πελάγει φοβούσας τοὺς πολεμίους καὶ ἀσπίδας καὶ κράνη καὶ θώρακας καὶ παντοίων ὅπλων παρασκευάς, ἃς ὁ βασιλεὺς νουνεχῶς ἄγαν κατὰ τῶν πολεμίων πρὸ τοῦ καιροῦ καὶ τῆς χρείας ἐξαρτύειν ἠπείγετο, λέγειν διὰ σπουδῆς ποιουμένῳ ἡ μέλαινα τῶν Ῥωμαίων τύχη, τὰ εἰωθότα καὶ αὖθις δρᾶν βουλομένη, ἐκ τῶν τῆς ἀπωλείας βαράθρων ἐξαίφνης ἀναπεπηδηκυῖα, ἑτέραν ἡμῖν πρόθεσιν προὔβαλε καὶ παλινῳδίαν ᾄδειν, ὦ γῆ καὶ ἥλιε, παρεσκεύασε καὶ τὰ τοῦ βασιλέως ἐγκώμια πρὸς θρήνους καὶ ὀδυρμοὺς ἔτρεψε καὶ τὴν ἡμετέραν χεῖρά τε καὶ γλῶτταν, ἤδη τῷ τάφῳ σπενδομένην ὑπό τε τῶν μακρῶν νόσων καὶ τῆς παρ' ἐλπίδα συνενεχθείσης ἡμῖν νυνὶ συμφορᾶς, μονῳδίας καὶ τραγικὰς ὑποθέσεις οἰκτρῶς ἱστουργεῖν παρώτρυνεν. Ἀλλ' οὐκ ἔχω τῶν τοῦ βασιλέως καλῶν τί πρῶτον ὀδύρωμαι, πότερον τὴν τῆς ἡλικίας

(1) Σελ. 196-200.

(2) *Henr. O. Coxe* Catalogi codicum manuscriptorum bibliothecae Bodleianae. Pars prima. Oxonii. MDCCCLIII σελ. 496-497.

(3) Σημειωτέον ὅτι χάριν συντομίας δὲν περιέλαβον ἐν ταῖς ὑποσελιδίοις ταύταις σημειώσεσιν οὔτε τὰς ἰδιαζούσας τῷ κώδικι, κατὰ τὰ παρὰ τοῖς Βυζαντίνοις βιβλιογράφοις εἰθιζόμενα, γραφὰς *τὲ', δὲ', μηδέ, οὐχ'* οὔτε τὰ περὶ τὰ ἐγκλιτικὰ καὶ ἐγκλινόμενα καὶ τὰς φράσεις σφάλματα τοῦ βιβλιογράφου (*χεῖρα τέ, πειραθῆναι με, ἄλλού του, τοσοῦτον γε* κτλ.), οὔτε τὰς ὑφ' ἓν γεγραμμένας προθέσεις μετὰ τῶν ὑπ' αὐτῶν ἐξαρτωμένων λέξεων (*προτοῦ, κατάκρας* κτλ.), οὔτε τοιαυτας τινὰς ἄλλας κῆρας.

3-4. *τριήρεις πελάγει* ΣΛ. — 13. *συνεχθείσης* Σ. — 15. *ὀδύρομαι* Σ.

ἀναδρομὴν, οὕτως εὐφυῶς ἄγαν ἔχουσαν διὰ πάντων, ἢ τὸ τοῦ προσώπου εὔχρουν τε καὶ χάριεν καὶ τὴν ἐκεῖθεν ἐκπηδῶσαν φαιδρότητα, ἢ τῶν ὀφθαλμῶν τὸ ἡδὺ καὶ προσηνὲς καὶ ἥμερον καὶ πάντας ὑφέλκον || ἐκτόπως πρὸς τὸν τῶν ἑαυτοῦ καλῶν ἔρωτα. Ἐγὼ μὲν γὰρ οὐδ' ἱκανὸς ἂν εἴην τὰ ἐκείνου πάντα κατ' ἀξίαν ὀδύρεσθαι· καὶ διατείνομαι δέ γε τοῦτο τρανῶς πρὸ τοῦ γε ἐν τοῖς ἐφεξῆς πειραθῆναί με τῶν ἐλέγχων ἐς τὸ πάνυ τοι ἀκριβὲς, ἐπεὶ καὶ τὸ πάθος οὔτε δὴ τοσοῦτον ὅσον ἄν τις ἄλλος ἀρκούντως ἀνακλαύσασθαι δυνηθείη, οὔθ' ἡμεῖς, τοσούτῳ πελάγει συμφορᾶς ἀδοκήτου συνειλημμένοι, τὸν νοῦν ἐρρωμένον κεκτήμεθα, ὥςτ' ἀποδοῦναι τῷ μεγάλῳ βασιλεῖ Ἰωάννῃ τοὺς θρήνους ἀξίους, ἀλλ' ὑπὸ τοῦ πάθους καὶ τὸ φρονεῖν παντάπασιν ἀφῃρήμεθα· καὶ δέος μὴ, θρήνους θρήνοις, ὡς εἰκὸς, ἐπὶ τῇ βασιλέως τελευτῇ συνείρειν ἐθέλοντες, ὑπὸ τῆς ἄφνω κατασχούσης ἡμᾶς λύπης καί τι τῶν οὐ γιγνομένων παραφθεγξαίμεθα. Τούτῳ δὴ τῷ πάθει σφόδρα κατείλημμαι· οὐδὲ γὰρ μικρὰν ὁρῶ βλάβην τοῖς Ῥωμαίοις συνενεχθῆναι, οὐδ' ὀλίγους τὸν ἀριθμὸν βεβλαφέναι τὴν τύχην νομίζω, ὅτι γε μὴ συλλήβδην εἰπεῖν σύμπαν τὸ κατάλειμμα τοῦ γένους τῶν Χριστιανῶν ἐκτετρίφθαι. Τίς γὰρ οὐκ οἶδε τῶν πάντων ὅπως ῥώμης σώματος, ὅπως δὲ σπουδῆς ἐν οἷς τὸ πράττειν προὐργιαίτερον ἐνομίζετο, καὶ ὅπως μὲν συνέσεως, ὅπως δὲ γνώμης μάλα χρηστῆς τε καὶ ἡμέρου καὶ φιλανθρώπου ὁ πάντ' ἄριστος οὗτος καὶ γενναῖος βασιλεὺς εἶχεν; Ἐξ ὧν οὐ μόνον αὐτός τ' ἐκεκόσμητο λίαν λαμπρῶς καὶ οἱονεί τι συμφόρημα καθειστήκει παντὸς ἀγαθοῦ καὶ κόσμος ἦν, εἰπεῖν, τῷ οἰκείῳ γένει περιφανὴς, ἀλλὰ καὶ σύμπαν τὸ τῶν Ῥωμαίων γένος σχεδὸν οὐ μικρὰν || οὐδὲ τὴν τυχοῦσαν, ἀλλὰ πλείστην ὅσην διὰ ταῦτα πάλιν ἐκαρποῦντο δήπουθεν τὴν ὠφέλειαν. Καὶ τοῦτο παντί που γένοιτ' ἂν δῆλον ἔκ τε ὧν ἐκεῖνος καιρῶν τῶν ῥωμαϊκῶν ἦρξε πραγμάτων, μηδὲν ἴδιον προςκτήσασθαι βουληθεὶς μηδὲ τὰς ὀφρῦς ἐπηρκὼς πώποτε, ἀλλ' ὡς εἷς τις εἶναι τῶν ὑφ' αὐτόν γε ἐθελήσας μᾶλλον δοκεῖν, πλὴν μόνου τοῦ τῆς βασιλείας σχήματος, ὥς τε ὧν αὖθις οἱ δείλαιοι Ῥωμαῖοι τῆς ἐκείνου χρηστῆς τε καὶ ἡμέρου καὶ φιλοτίμου γνώμης λαμπρῶς ἀπώναντο. Εἰ δὲ καὶ μὴ πάντες τῶν τοῦ βασιλέως δωρεῶν καὶ τιμῶν καὶ

4. || Κώδ. Λ. φ. 88, 6. — 9. *ἐρωμένον* Λ. — 14. *παρεφθεγξαίμεθα* ΣΛ — 18. *οὐκ ἂν οἶδε* Σ. — 19. *προυργιαίτερον ἐνομίζετο* Λ. — 25. || Κώδ. φ. 89, α. — 30. *ὥστε* ΣΛ. Ἴσως γραπτέον ἔκ τε.

χαρίτων καὶ τῶν ἄλλων ἀγαθῶν ἀφθόνως ἀπολελαύκασιν, οὐ τῆς ἐκείνου θειοτάτης ψυχῆς καὶ γνώμης τοῦτ' ἄν τις τιθείη δικαίως, ὅτι γε μὴ τῆς ἀτάκτου τοῦ καιροῦ φορᾶς, πολύ τι τὸ ἀνώμαλον καὶ ἄνισον κεκτημένης καὶ πολλὴν ἐπαγούσης ὁσημέραι τοῖς τῶν Ῥωμαίων πράγμασι τὴν ζάλην τε καὶ σκοτόμαιναν καὶ τὰς τῶν ἀνθρώπων γνώμας ἐξαλλαττούσης ἀεὶ πρὸς διάφορα χρώματα καὶ ταῖς τῶν πραγμάτων μεταβολαῖς συναπτούσης, ἀναλόγως ταῖς τῶν φύσεων ἰδιότησι. Τὰς γοῦν τοιαύτας τύχας καὶ κῆρας καὶ τοῦ τοιούτου πλάνου καὶ κύβου τὸν ἀστάθμητον δρόμον καὶ τὰς ἐκεῖθεν ἀεὶ μεταβολὰς τῶν εὐρίπων ὁ πάντ' ἄριστος ὑφορώμενος, οὐ πάνυ πρὸς πάντας τὸ φιλότιμον ἐπεδείκνυτο τῆς ψυχῆς, ὥσπερ καὶ ἐκ μέσης ἤρα ψυχῆς, ἀλλ' ἐσχίζετο δήπου τὴν γνώμην, οὐκ ἐρρωμένους τοὺς λογισμοὺς ἐνίων ὁρῶν, ἀλλὰ δίκην παλιρροίας ὑδάτων ἄλλοτ' ἄλλως πρὸς ὃ ἂν ὁ καιρὸς διδῷ ῥᾷστα δήπουθεν μεταβεβλημένους. Οὐ μὴν ἀλλά, || τούτων οὕτως ἐχόντων, εἰ καὶ μὴ πάντες, ἀλλ' οὖν οἱ πλείους εὖ πεπόνθασιν ὑπὸ τῆς ἐκείνου μεγαλοδώρου δεξιᾶς καὶ μάλιστά γε τὸ δουλεῦον ἀεὶ καὶ σὺν μόχθῳ μακρῷ τὸ ζῆν ἑκάστοτε ποριζόμενον· τούτου γὰρ πλεῖστον ἔμελε τῷδε τῷ βασιλεῖ ὡςπερεὶ καὶ τῷ ἐκείνου πατρί, τῷ μεγάλῳ βασιλεῖ Ἀνδρονίκῳ. Ἀλλὰ ταῦτα μὲν ἄλλου του καιροῦ συγγράμματά τε καὶ διηγήματα· νυνὶ δ' ὁ παρὼν ἡμᾶς ἐπὶ τοὺς τοῦ βασιλέως θρήνους καλεῖ. Οἶμαι γάρ, εἰ καὶ μὴ πάλαι τοῖς ἀνθρώποις τὸ θρηνεῖν ἐπὶ τοιαύταις συμφοραῖς νενόμισται, νῦν ἂν ἐπὶ τῆς τοῦ βασιλέως τελευτῆς δικαίως τοῦτ' ἄρξασθαι. Τί γὰρ οὐκ ἄν τις τῶν ἐκείνου θρηνήσειεν, ἢ μᾶλλον τί τις ἂν ἀξίως ὀδύραιτο; Οὐ γὰρ Σιμωνίδης, οὐ Πίνδαρος, οἱ ταῖς συμφοραῖς τοὺς θρήνους ἀναλόγως ἱστουργεῖν δυνάμενοι, οὐδέ τις Ὀρφέως κιθάρα καὶ Μουσαῖος καὶ Θάμυρις τοσοῦτον πάθος ἀξίως ἤρκεσαν ἂν ἀνακλαύσασθαι, οὐδ' εἶχον ἄν, ὥς γ' ἐμοὶ κριτῇ, πότερον ποτέρῳ τῶν ἐκείνου παρατιθέντες ἐλάττους τοὺς θρήνους ἐργάσασθαι. Πάντα γὰρ παντάπασιν ἀλλήλοις ἐφάμιλλα καὶ οὐδὲν ὃ μὴ πρότερον πρὸς ἑαυτὸ τοὺς θρήνους ἐφέλκεται· τήν τε γὰρ ἡλικίαν τοιαύτην ἔλαχεν, οἵαν ἑνὶ μηδενὶ τῶν πάντων παραβεβλῆσθαι ῥᾴδιον, τὴν δ' αὖ

1. *τοῖς* Σ — 4. *τῆς* Λ. *πράγμασιν* Λ. — 9. *εὐρίπων* Λ. *Εὐρίπων* Σ. — 14. || Κώδ. φ. 89, 6. Τὸ *μεταβεβλημένους* τῶν κωδίκων φαίνεταί μοι διορθωτέον εἰς *μεταβαλλομένους*. — 15. *αὖ* Σ. — 22. Γραπτέον πιθανῶς *νενόμιστο*. — 26. *μουσαῖος θάμυρις* Λ. Τὸ δὲ *καὶ* προσετέθη ἤδη ὑπὸ Σάθα.

ὥραν τῇ μὲν ἡλικίᾳ μάλα συμβαίνουσαν, ἐπαίνου δὲ παντὸς ὑπερτέραν καὶ θαύματος· σχῆμα δ᾽ἀποίητόν τε καὶ κάλλιστον καὶ ὄγκου παντὸς ἀπηλλαγμένον καὶ τύφου καὶ οἷον οὐκ ἄν τις ἀξίως ἀγάσαιτο· τὴν δ᾽αὖ ἐντυχίαν φαιδρὸς καὶ χαρίεις καὶ μάλα προσηνὴς καὶ μειλίχιος καὶ, εἰ δεῖ συντόμως εἰπεῖν, ἵμερον ἔφη τις ἂν ἐφιζάνειν || τῇ ἐκείνου γλώττῃ τε καὶ τῷ βλέμματι· ὅθεν οὐδ᾽ἦν ἂν ῥᾷδιον τοῖς καὶ ὁπωςοῦν τῆς ἡδίστης τούτου καὶ χρηστῆς ὁμιλίας μετεσχηκόσι μὴ γεγανῶσθαι καὶ τῶν αὐτοῦ γε σειρήνων ἐξηρτῆσθαι κατ᾽ἄκρας. Εἶτα τοσούτου κρυβέντος ὑπὸ γῆν ἀγαθοῦ σιωπὴν σχήσω; οἰμωγὰς οὐκ ἀφήσω; στεναγμοὺς οὐκ ἐκπέμψω; θρήνους οὐ συμμίξω τῷ πάθει; ῥύακας ἐκ τῶν ἐμῶν ὀφθαλμῶν δακρύων οὐκ ἀναρρήξω; τίνος ἀδάμαντος φύσιν κτησάμενος; Ὦ πάντ᾽ἐφορῶν ἥλιε, οἷον τὸ γεγονὸς ἰδεῖν ἠνέσχου! ἔδει σε γὰρ, ἀχλὺν ἀήθη τε καὶ στυγνὴν ἐκ τοῦ σχεδὸν περιβεβλημένον, κατήφειάν τινα ξενίζουσαν τῷ τῶν ἀνθρώπων γένει δεικνύναι καὶ τῷ παραδόξῳ τοῦ συμβάντος ἐπὶ τῷ πάθει σφόδρα συναλγεῖν δόξαι! Οὐρανὲ, σιγῇ τὸ τοιόνδε πάθος οὐκ ἐχρῆν σε παραδραμεῖν, ἀλλὰ καὶ τὰς οἰκείας ἀναπεταννύντα πύλας ἔδει σε βροντὴν ἀξίαν ἀφιέναι τοῦ πάθους, ἵνα μὴ μόνον οἱ τὴν καθ᾽ἡμᾶς οἰκοῦντες τὸ τῆς συμφορᾶς ὑπερβάλλον σφοδρότερον αἴσθοιντο, ἀλλὰ καὶ οἱ ταῖς ἐσχατιαῖς ἐνδιατρίβοντες πάντες καὶ τοσοῦτόν γε ἐκτετοπισμένοι αὐτίκα γνοῖεν ἐκ τῆς ἀτόπου ταύτης ἐκπλήξεως ἀδόκητόν τινα καινοτομίαν τῷ τῶν ἀνθρώπων βίῳ συμπεπτωκέναι. Γῆ, σὺ δὲ μηδέποτε κατακορὴς τηλικούτων συμφορῶν γεγονυῖα, οὐδὲ νῦν, ὡς ἔοικεν, ἀφέξεσθαι τῶν τοιούτων ἔμελλες· ἀλλ᾽, εἴπερ ἐξ ἄρα τινὸς μηχανῆς αἴσθησιν λαβοῦσα φωνὴν ἰσχύσειας ἀφιέναι, φθέγξαι τι καὶ αὐτὴ γοερὸν καὶ, οἷα μετάμελον ἐφ᾽οἷς εἰργάσω λαβοῦσα, σὺν οἰμωγῇ τινι φράσον· || ποῦ τὸν τῶν Ῥωμαίων ἄριστον βασιλέα κρύψασα ἔχεις; ποῦ τὴν θαυμαστὴν ἐκείνην ἡλικίαν καλύψασα κρύπτεις; ποῦ τὸ ὡραῖον ἐκεῖνο κάλλος ἠφάνισας; Ὦ κεφαλὴ ἡ πρότερον μὲν ἀντ᾽ἄλλου τινὸς ἀγάλματος ὁρωμένη, νῦν δὲ τῇ κόνει κεκαλυμμένη· ὦ κύκλοι τῶν ὀφθαλμῶν ἐκείνων ποῖ γῆς ἔδυτε; ὦ χρυσαῖ χεῖρες ἐκεῖναι ποῖ γῆς κέκρυφθε; ὦ πόδες

5. || Κώδ. φ. 90, α. — 7. *γεγαννῶσθαι* ΛΣ. — 10. 11. *ἐκ ἐμῶν* Σ. — 16. *ἐχρεῖν* Λ. — 24. *ἐξάρα* Λ. — 26. || Κώδ. φ. 90,6. — 31. *χρυσαὶ* Λ. *κέκρυ(φθε;)* . . . Σ. Μέχρι τούτων μόνον σώζεται ἡ μονῳδία ἐν τῷ βιενναίῳ κώδικι καὶ τῇ ἐκδόσει τοῦ Σάθα· τὰ δὲ λοιπὰ ἐκδίδονται νῦν τὸ πρῶτον ἐκ τοῦ ὀξωνιακοῦ κώδικος.

οἵου δεσπότου ποῖ ποτε κατακέχωσθε; Πῶς, ὦ γῆ, μηδαμῆ τῶν τοιούτων γε φείδη, ἀλλὰ φύρδην, εἰπεῖν, πάντας ὑφ' αὐτὴν ποιουμένη, τούς τε πλείστου γ' ἀξίους ὁμοῦ τοῖς οὐδέσι καταμιγνύεις, καὶ οὓς ἔδει μᾶλλον ἐς μακροὺς ἡλίους περιεῖναι τῷ βίῳ κόσμου παντὸς ἕνεκα, τούτους ἀώρως ὑφαρπάζουσα εἰς τέφραν διαλύεις καὶ κόνιν; Καὶ ἵνα συνελὼν εἴπω, πῶς τὴν ἀγαθὴν τῶν Ῥωμαίων τύχην τῷ τάφῳ συνέθαψας; Ὄντως ἀναιδὴς εἶ καὶ τοῖς καλοῖς ἐς τὸ παντελὲς βασκαίνουσα καὶ οὐδέποθ' ἕως ἂν ἄστρα κατ' οὐρανὸν σώζηται κύματά τε θαλάττης ταῖς ἀκταῖς ἐντυγχάνη, τοιῶνδε συμφορῶν παύση κατατρυφῶσα· οὐ γὰρ ἂν τοιοῦτον ἄνδρα τῇ κόνει κατέκρυψας. Ὦ πάντων βασιλέων ἄριστε, ποῖ ποτε γῆς ἔδυς, ποῖ κέκρυψαι; τὴν δὲ σὴν καλοκάγαθίαν τίς ποτε τύχη βάσκανος τοῦ βίου διαγράψαι ἐσπούδακεν; Ὦ πάντα φέρων χρόνος ἀληθῶς, τἄδηλα φύων, τὰ φανέντα καὶ πλείστου γ' ἄξια κρύπτεις. Οἵαν γὰρ ῥώμην σώματος ὡς μηδαμῆ φανεῖσαν ἔφηνας, οἷον κάλλος προδείξας ὡς μὴ γεγονὸς ἀπέδειξας, οἷον τὸν βουλευτὴν ἐκφήνας καὶ παρρησιασάμενος ἄφνω καὶ παρ' ἐλπίδας ἀφήρπασας. || Νῦν χαίρει πᾶν γένος τοῖς Ῥωμαίοις πολέμιον, οὐκέτ' ὄντος τοῦ τὰ ὅπλα κινήσοντος· νῦν τὸ τῶν Περσῶν ἔθνος οὐ μικρὰν ἄγουσιν ἑορτὴν ἐπὶ τῷ συμβάντι, οὐκέτ' ἔχοντες τὸν ἀντιστησόμενον. Εἰ δὲ δεῖ τἀληθέστερον εἰπεῖν, κἀκεῖνοι θρηνοῦσι τὸν βασιλέα, οἱ μὲν τὴν φιλοτιμίαν ἐπαινοῦντες ἐκείνου, οἱ δὲ τὴν περὶ τὰ πολεμικὰ ἐμπειρίαν θαυμάζοντες. Φιλεῖ γὰρ ὡς τὰ πολλὰ καὶ πολέμιος τὰ τῶν ἐπαίνων ἄξια, εἰ καὶ παρ' ἐχθρῶν κατορθοῖντο, θαυμάζειν εἰς δύναμιν. Ὦ γένος Ῥωμαίων, οἷον ἔχοντες τὸν δεσπότην ἀπολωλέκατε· οἵαν ἀνθ' οἵας τύχην ἠλλάξασθε. Καὶ τίς μοι καιρὸς ἀρκέσει τῷ πάθει τοὺς θρήνους συνείρειν ὁπόσον γε βούλομαι, ἢ μᾶλλον πῶς ἂν οἷός τε γενοίμην ἐξισῶσαι τῷ πάθει τοὺς θρήνους; Εἰ καὶ . . . . . . φαινοίμην, πολλοστὸν τῆς τοῦ παντὸς ἀξίας δυναίμην ἂν ἀνακλαύσασθαι. Ἥ τε γὰρ ἰσχὺς τῆς ἐμῆς ἐσβέσθη φωνῆς καὶ ἡ χεὶρ ναρκωθεῖσα τῆς τοῦ πρόσω φορᾶς ἐπέχεται, μὴ δυναμένη τούτων ἑκατέρα τῷ καιρῷ τὴν

2. *φύρδειν* Λ. — 4. *περιείη* Λ — 10. *πάντα* Λ. — 14. Μετὰ τὴν λέξιν *σώματος* φαίνεταί μοι ἐκπεσοῦσα μετοχή τις ἀορίστου, ἀντιστοιχοῦσα ταῖς ἑπομέναις *προδείξας* κτλ. Ἐν τῇ ᾤᾳ ἔναντι τούτου τοῦ χωρίου σημειογραφεῖται: *γνώμη*. — 15. *οἷον* Λ. — 17. || Κώδ. φ. 91, α. — 27. Τὸ χωρίον εἶνε προφανῶς ἐφθαρμένον· μοὶ φαίνεται ἐκπεσοῦσα πρὸ τοῦ *φαινοίμην* λέξις τις ἢ καὶ φράσις.

χρείαν συνειςενεγκεῖν ὑπὸ τῆς τοῦ συμβεβηκότος ἐκπλήξεως. Καὶ νῦν, ὦ βασιλεῦ, τὸ μὲ σὸν θεῖον σῶμα τῇ κόνει κεκάλυπται καὶ ἡ θειοτάτη σου ψυχὴ παρὰ τὸ κρεῖττον ἀπέπτη καὶ πρὸς τὴν ἀγήρω καὶ μακαρίαν ἐκείνην ζωὴν μεταβέβηκε, τῷ θείῳ καὶ ἀγγελικῷ σχήματι συνεπαρθεῖσα λαμπρῶς· ἡ δὲ βασιλίς, τὴν μέλαιναν περιβεβλημένη στολὴν, ἐλεεινόν τι θέαμα καθορᾶται καὶ θρήνων μακρῶν ἀξία γίγνεται ἡ πρὸ ὀλίγου τοῖς ὁρῶσι χαρὰν προμνωμένη, καὶ οἷά τις νὺξ ἀσέληνος φαίνεται ἡ πρὸ μικροῦ πανσέληνος καὶ οἷον εἰπεῖν λαμπροτάτη σελήνη, || καὶ, τὴν χηρείαν γοερῶς θρηνοῦσα, τὸν ταύτης αἴτιον ζητοῦσα οὐ παύεται καὶ ὅλων αὐτῇ ποταμῶν δεῖ μεταστάντων εἰς δάκρυα ὥςτε τὴν ἑαυτῆς ἀδόκητον θρηνεῖν συμφοράν. Τίς οὖν, ὦ γῆ καὶ ἥλιε, εἰ καὶ λίθου καὶ δρυὸς τὴν φύσιν σκληρότερος εἴη καὶ σιδήρου παντὸς φάναι ἀμαλακτότερος, οὐκ ἂν καμφθείη τοῖς ὀδυρμοῖς καὶ πρὸς δάκρυα καὶ θρήνους ἅμα κινηθείη καὶ στεναγμούς; Τίς ταῦτα καὶ τὰ τοιαῦθ' ὁρῶν οὐκ ἂν φύσιν αἰγείρων, ὡς ὁ λόγος, ἀλλάξασθαι βουληθείη, ὅτι μὴ πρὸς τοσαύτην ὅλως συμφορὰν ἀντισχεῖν δύναιτο; τίς οὐκ ἂν ἀψύχων φύσιν λαβεῖν εὔξαιτο; Ταῦθ' ὁ σὸς ἄωρος θάνατος, ὦ βασιλεῦ, παρεσκεύασε. Καὶ σὺ μὲν ἐν ταῖς οὐρανίοις σκηναῖς πολιτεύῃ χαίρων καὶ ἀγαλλόμενος, οἱ δὲ σὲ ποθοῦντες δυστυχῶς τὸν λοιπὸν πάντα βίον ἀνύσουσιν. Ὦ βασιλέων ἡμερώτατε, οἷόν σοι τανῦν ὑφαίνω λόγον, οἷον μονῳδῶ θρῆνον, οἷά περ ᾄδειν θέλων οἵοις ἐμπέπτωκα, τίσιν ἐγχειρεῖν βουλόμενος ποίοις ἐνέτυχον; Οὐδέποτέ σοι τοιόνδε τι προςοίσειν ἤλπισα· ὃ γὰρ οὐκ ἐβουλόμην οὐδ' ἐλπίζειν ἤθελον· ἀλλὰ τῇ μὲν γραφίδι χρῆσθαι, χρῆσθαι δ' ὑπὲρ ἐγκωμίων ἐβουλόμην καὶ κρότων, ἀλλ' οὐχ ὑπὲρ ὀδυρμῶν τε καὶ θρήνων τῶν ἐπὶ σοί. Καὶ τοίνυν μνημεῖα μὲν τῶν σῶν ἀγαθῶν τῷ τῶν ἀνθρώπων βίῳ οὐκ ὀλίγα λέλειπται, σὲ δὲ γῆ καλύπτει καὶ τάφος. Τί ἔτι; δεῖ γὰρ πανταχόθεν τοὺς θρήνους ἐράνου δίκην συνειλοχέναι καὶ τῇ τοῦ βασιλέως ἀώρῳ τελευτῇ προςαρμόττειν, τὸν ἐνόντα γε ἡμῖν τρόπον. Νῦν μὲν ἡ τῶν ἐν τέλει φατρία πάντες ὡς κοινὸν φίλον καὶ εὐεργέτην κόπτονται καὶ θρηνοῦσι τὸν βασιλέα, ἄλλος ἄλλο τι || τῶν ἐκείνου καλῶν τραγῳδοῦντες καὶ τὴν συμφορὰν ἀλλήλοις συμμεριζόμενοι· νῦν δὲ τὸ τῶν στρατιωτῶν ἅπαν σύνταγμα, κατὰ δεκάδας τε καὶ κατὰ πλῆθος εἰπεῖν ἠθροισμένοι, τὸ πάθος ὅλως φέρειν οὐκ ἔχουσι, καὶ τὸν βασιλέα ζητοῦντες καὶ ὀλοφυρόμενοι τὸν προμη-

5. *μέλαινα* Λ.—9. || Κώδ.φ.91,6. —13. *ἀμαλακότερος* Λ.—26. *λέλλειπται* Λ.—31. || Κώδ. φ. 92, α.

θέα ὀδύρονται. Νῦν μὲν τὸ πλῆθος ἅπαν, τὴν τοῦ βασιλέως τελευτὴν ἐκκοπὴν τῶν ἰδίων ὀφθαλμῶν παντελῆ νομίζοντες, πένθος κινοῦσιν ἀπαραμύθητον, τηλικαύτην τοῦ κοινοῦ ζημίαν οὐχ ὑφιστάμενοι· νῦν δ' ἡλικία πᾶσα καὶ τάξις πᾶσα καί, ἁπλῶς εἰπεῖν, ὅσον τε τῆς ὑφειμένης μοίρας καὶ ὅσον ὄψις εἴη τῆς πόλεως, ἄλλοι κατ' ἄλλα μέρη τῶν ὁδῶν συνιστάμενοι καὶ ἀπηγορευκότες ἅπαν τὸ εὔελπι, τὴν τοῦ βασιλέως στέρησιν θρηνοῦσι καὶ κόπτονται καὶ ὀδύρονται. Καὶ τί δεῖ μακρολογεῖν, τοὺς τοῦ βασιλέως θρήνους ἐκ τῆς λογικῆς τῶν ἀνθρώπων φύσεως ἐπεξεργαζόμενον, ἐξὸν κἀκ τῶν ἀψύχων συστήσασθαι; Νῦν ὄρη, τέμπη, πεδία, νάπαι, λειμῶνες, ἄλση, ποταμοί τε καὶ λίμναι καὶ πηγαί, πάνθ' ὁμοῦ τὴν ἄωρον τοῦ βασιλέως θρηνεῖ τελευτήν, εἰ καὶ μὴ λόγῳ, τῷ γε μὴ δυνατῷ πεφυκέναι, ἀλλ' οὖν ἐρημίᾳ τοῦ ταῦτα κοσμοῦντος καὶ μηδὲν ἔτι κοσμήσοντος. Νῦν ἡ τῶν Ῥωμαίων γῆ τὸν ἑαυτῆς ἀποβέβληται κόσμον, ἥκιστ' ἔχουσα τὸ παρ' αὐτοῦ κεκοσμῆσθαι, οὐδέ γε τοῦ λοιποῦ κοσμηθήσεσθαι μέλλουσα. Νῦν μὲν κάλλη ναῶν καὶ ψυχῶν σοφῶν σεμνεῖα καὶ φροντιστήρια καὶ ποικιλία κτισμάτων καὶ τἆλλα πάντα, παρ' οἷς ὁ βασιλεὺς καιροῦ καλοῦντος ἐφοίτα, πολύ τι τὸ ἀτερπὲς ὑπεμφαίνειν δοκεῖ, τῆς τοῦδε παρουσίας ἐστερημένα· || νῦν δὲ ποικίλματα πάντα τεχνῶν καὶ στολαὶ διάφοροι καὶ περιφανεῖς, λιθοκόλλητοί τε καλύπτραι καὶ τὰ χρυσόπαστα τῶν ἱματίων καὶ λίθοι καὶ μάργαροι καὶ πᾶν ὅ τι τίμιον ἥκιστ' ἔχει ταῦτα τὸ λαμπρὸν ἀποσώζειν, τοῦ κοσμοῦντος οὐκ ὄντος. Οὐ γὰρ ὑπ' ἐκείνων ὁ βασιλεὺς ἐκοσμεῖτο, ἀλλ' ὑπὸ τοῦδε μᾶλλον ἐλαμπρύνετο ταῦτα. Νῦν τὰ τῶν ζῴων γένη, ὁπόσα γε δήπου ταῖς θήραις εἴωθεν ὑποπίπτειν, κἀκεῖνά μοι δοκεῖ τὸν βασιλέα ζητεῖν καὶ οἱονεὶ δυσχεραίνειν, τὸν θηρευτὴν ἐν τοῖς ζῶσιν οὐκ ἔχοντα καὶ τό γ' ἡσυχῇ βιῶναι τοῦ διώκεσθαι μονονοὺ χεῖρον τιθέμενα. Νῦν οἶκοι πάντες βασίλειοι καὶ αὐλαὶ καὶ δρόμοι οἱ τὸν βασιλέα φέροντες οἰκτρὰ πάντα καὶ ἄκοσμα καὶ ἐρημίας ἁπάσης πλήρη. Εἰ γὰρ δεῖ τἀληθὲς εἰπεῖν ἐν βραχεῖ, ὃ ψυχὴ σώματι γίγνεται καὶ ὃ φῶς ἐν κόσμῳ σχεδὸν πέφυκε, τοῦτ' ἦν ὁ βασιλεὺς ἅπασιν, ἀντὶ ψυχῆς, ἀντὶ φωτός, ἀντ' ἄλλου του τῶν ἐν βίῳ τιμίων μικροῦ τοῖς ὅλοις γιγνόμενος. Τοὺς μὲν γὰρ ἀνθρώπους ἐκόσμει μάλα λαμπρῶς τῇ γλώττῃ καὶ οἷς ἐκεῖνος ἐκ τοῦ ῥᾴστου προσφέρεσθαι εἴωθε, μονονουχὶ τοῖς λόγοις ψυχὴν ἐνιείς, τὰ δ' ἄλλα πάντα τῇ γε ἑαυτοῦ παρουσίᾳ

12. δυνατὸν Λ. — 18. || Κώδ. φ. 92, 6. — 21. ἔχειν Λ. — 29. ψυχῇ Λ.

καὶ μόνον φαινόμενος. Ἐμοὶ μὲν οὖν, ὦ παρόντες, οὐχ ὅσα ἐχρῆν ἐπὶ τῇ τοῦ βασιλέως τελευτῇ, ἀλλ' ὅσα ἐξῆν εἰρηκότι, καιρὸς ἂν εἴη πεπαῦσθαι. Εἰ μὲν γὰρ πλεῖστα λέγοντες δυοῖν θάτερον κατορθοῦν ἐμέλλομεν, ἢ τοὺς θρήνους ἐξισοῦν γε τῷ πάθει ἢ τὴν λύπην κουφοτέραν ἐργάσασθαι, εἰκότως ἂν τοῖς θρήνοις ἐνδιετρίβομεν. Ἐπεὶ δὲ τὸ μὲν οὐχ οἷόν τε εἴη, εἰ καὶ μυρία θρηνῶν τις ὀδύροιτο,ὁ δὲ καὶ μᾶλλον μᾶλλον πρὸς πᾶν τοὐναντίον τὰς τῶν ἀκροωμένων ψυχὰς ἐρεθίζει, || καὶ τὴν λύπην δὲ φλογὸς δίκην ἀνάπτει σφοδρῶς, διά τοι ταῦτα σιγᾶν οἶμαι δίκαιον. Ὑμεῖς δὲ οὐ μόνον ὀδυρμῷ καὶ θρήνῳ τὴν εἰς τὸν βασιλέα εὔνοιαν δείξατε, ἀλλὰ καὶ οἷς πρός<τε> τὰς βασιλίδας διατεθήσεσθε ταύτην καθαρὰν παραστήσατε. Οὕτω γὰρ ἂν τά τε δίκαια ποιήσοιτε καὶ παρὰ τοῦ κοινοῦ δεσπότου προσηκούσας τὰς ἀμοιβὰς ἀπολήψοισθε.»

Ἡ μονῳδία αὕτη, ἂν μὴ ἐγράφη ὅπως ἐκφωνηθῇ κατὰ τὴν ἐκφορὰν τοῦ νεκροῦ τοῦ βασιλέως,πάντως ὅμως δὲν εἶνε πολὺ μεταγενεστέρα τοῦ θανάτου αὐτοῦ, συμβάντος τῇ 16 Φεβρουαρίου 1391. Ὅτι δὲ μᾶλλον ἐξεφωνήθη ἐπὶ τῷ θανάτῳ ἀποδεικνύεται ἐκ τοῦ τέλους αὐτῆς, ἐν ᾧ πρὸς τὸ ἀκροατήριον ἀποτεινόμενος ὁ ῥήτωρ ζητεῖ νὰ προκαταλάβῃ τὰς πρὸς τὰς βασιλίδας διαθέσεις τοῦ πλήθους. Εἰκάζω δὲ ὅτι ταῦτα λέγων ἐννοεῖ τὴν Εὐδοκίαν, τὴν τοῦ Ἀλεξίου Κομνηνοῦ, τοῦ τῆς Τραπεζοῦντος αὐτοκράτορος, θυγατέρα, ἣν ὁ Ἰωάννης ἐξιδιώσατο ἀντὶ τοῦ υἱοῦ Μανουὴλ δι' ὃν ἦτο προωρισμένη, καὶ τὰς θυγατέρας τοῦ βασιλέως. Ἀλλὰ ταῦτα οὕτω λεγόμενα δὲν ἠδύναντο νὰ ἔχωσι τόπον ἢ τῶν πραγμάτων εὐθὺς μετὰ τὸν τοῦ Ἰωάννου θάνατον ὄντων μετεώρων διὰ τὴν ἀπουσίαν τοῦ Μανουὴλ εὑρισκομένου ἐν Προύσῃ παρὰ τῷ Βαγιαζήτ.

Ἔχει δὲ ἡ ὅλη μονῳδία χαρακτῆρα αὐλικῆς κολακείας καὶ φέρει εἰς ἀπορίαν τὸν γινώσκοντα ἄλλοθεν τὰ κατὰ τὴν βασιλείαν τοῦ Ἰωάννου Παλαιολόγου, ἀνδρός, ὅστις ἐνταῦθα μὲν παρίσταται ὡς ὁ σωτὴρ τοῦ Βυζαντίου καὶ πατὴρ τοῦ κράτους, παρὰ δὲ τῆς ἱστορίας εἰκονίζεται ὡς ἄνθρωπος «ὅστις διαρκῶς ὑπνῶν ἐν τοῖς κόλποις τῆς ἡδυ»παθείας δὲν ἔσχε τὴν ἀπαιτουμένην ἐνέργειαν οὔτε διὰ τὰς μεγάλας »κακίας τὰς ἀποτελούσας τοὺς τυράννους οὔτε διὰ τὰς μεγάλας ἀρε-

1. *ἐκοὶ* Λ. — 3. *κατορθεῖν* Λ. — 6. *ὀδύρετο* Λ. *μάλα μᾶλλον* Λ. — 7. || Κώδ. φ. 93, α. — 8. *φλογός δε* Λ. — 10. τό τε ἀφαιρετέον.

»τὰς τὰς ἀποτελούσας τοὺς ἀγαθοὺς ἡγεμόνας» (1). Ἀλλ' οὐχ ἧττον ἀναγνωρίζομεν ἐν μέσῳ τοῦ καπνοῦ τῶν θυμιαμάτων τοῦ αὐλοκόλακος ἀληθεῖς τινας εἰκόνας, ἐν αἷς καὶ τὴν διὰ πάσης τῆς μονῳδίας διήκουσαν περιγραφὴν τῆς γνωστῆς καὶ ἄλλοθεν καλλονῆς τοῦ Καλοϊωάννου καὶ τοῦ μειλιχίου αὐτοῦ ἤθους.

Ἀλλὰ τίς εἶνε ὁ συγγραφεὺς ταύτης τῆς μονῳδίας καὶ ὁποῖον τὸ ἐπώνυμον αὐτοῦ; Ἐν ἀμφοτέροις τοῖς κώδιξιν ἐν οἷς σώζεται ἡ μονῳδία αὕτη, λέγεται ἔργον Θεοδώρου τοῦ Ποτακίου. Ἀλλ' ἤδη ὁ κ. Σάθας ἐκδίδων τὴν μονῳδίαν παρετήρησεν ὅτι ὁ Θεόδωρος Ποτάκιος «πιθανῶς ἐστὶν ὁ αὐτὸς Θεόδωρος Ποτάμιος (sic) τοῦ ὁποίου »καταγράφει ὁ Χρύσανθος ἐπιστολὰς εἴκοσι περισωζομένας ἐν τῇ κατ' »Ἄθωνα μονῇ τῶν Ἰβήρων» (2). Τὴν δ' εἰκασίαν ταύτην, ἣν ἀπεδεξάμην ὡς ὀρθὴν γράφων περὶ ἀνυπάρκτων ὀνομάτων (3), κατέστησεν ἔτι πιθανωτέραν ἡ μελέτη αὐτοῦ τοῦ περὶ οὗ ὁ λόγος κώδικος, σωζομένου εὐτυχῶς, ἣ ἐπεχείρησα κατὰ τὴν ἐν τῷ θέρει τοῦ ἔτους 1880 διαμονήν μου ἐν Ἁγίῳ Ὄρει. Ὁ κῶδιξ οὗτος, λαβὼν κατὰ τὴν ὑπ' ἐμοῦ γενομένην κατάταξιν τῶν χειρογράφων τῆς βιβλιοθήκης τῆς εὐαγοῦς τῶν Ἰβήρων μονῆς τὸν ἀριθμὸν 184, εἶνε χαρτῷος, σχήματος ὀγδόου, γέγραπται δὲ μέρος μὲν κατὰ τὸν ιδ', μέρος δὲ κατὰ τὸν ιε' αἰῶνα καὶ σύγκειται ἐκ φύλλων 267. Καὶ περὶ μὲν τοῦ κώδικος ὅλου γενήσεται λόγος ὅταν ποτὲ ἐκδοθῇ ὁ ἐμὸς κατάλογος τῶν ἁγιορειτικῶν χειρογράφων· ἐπὶ δὲ τοῦ παρόντος ὁ λόγος ἔστω περὶ μόνων τῶν ἐπιστολῶν τοῦ συγγραφέως τῆς εἰς Ἰωάννην τὸν Παλαιολόγον μονῳδίας. Αὗται εἶνε γεγραμμέναι χειρὶ τοῦ ιε' αἰῶνος, φέρονται δ' ἐν τῷ κώδικι μόναι δεκατρεῖς, ἐπιγραφόμεναι *τοῦ σωφοτάτου* (sic) *Θεοδώρου τοῦ Ποταμίου*. Εἶνε δ' αἱ ἑξῆς·

φ. 121, α «τῷ Κυδώνῃ»
» » » «τῷ Πόθῳ»
φ. 121, β «τῷ αὐτῷ»
φ. 122, α «τῷ αὐτῷ»

(1) *Lebeau* Histoire du Bas-Empire ἐκδ. τοῦ Saint-Martin. Tom. Κ', σελ. 481.

(2) *Σάθα* Μεσαιωνικὴ Βιβλιοθήκη τόμ. Α', σελ. ρλε'. Ἴδε καὶ τὸν ὑπὸ τοῦ πατριάρχου Ἱεροσολύμων Χρυσάνθου ἀρχομένου τοῦ ιη' αἰῶνος συνταχθέντα «βίβλων τινῶν ἐκ τῶν πολλῶν καὶ διαφόρων τῶν ἐν τοῖς μοναστηρίοις τοῦ Ἄθωνος κατάλογον» παρὰ Σάθᾳ ἐν Μεσ. Βιβλ. τόμ. Α', σελ. 282.

(3) Παρνασσοῦ τόμ. Α', σελ. 501.

φ. 122, β «τῷ αὐτῷ»
» » » «Ἀθηνοδώρῳ»
φ. 123, α «τῷ Γεμιστῷ καὶ Ἀθηνοδώρῳ»
φ. 123, β «Καντακουζηνῷ τῷ θείῳ τοῦ βασιλέως»
φ. 124, β «τῷ Θεσσαλονίκης κῦρ Ἰσιδώρῳ»
φ. 125, α ἀνεπίγραφος
φ. 126, α «τῷ υἱῷ τοῦ Οἰναιώτου»
» » » «τῷ Κυδώνῃ»
φ. 127, α «τῷ βασιλεῖ».

Οὐδαμῶς δ' ἀπίθανον νὰ συνεποσοῦντό ποτε ἅπασαι αἱ ἐν τῷ κώδικι ἀναγεγραμμέναι ἐπιστολαὶ αὗται εἰς εἴκοσιν, ὅσας ἐσημείωσεν ὁ Χρύσανθος, ἀλλ' αἱ ὑπόλοιποι ἀπωλέσθησαν, τοῦ κώδικος συναπαρτιζομένου τανῦν, καθ' ἃ φαίνεται, ἐκ δύο μερῶν, ὧν τὸ ἕτερον δὲν ἦτο συμπεπηγμένον μετὰ τοῦ λοιποῦ, ὅτε ὁ Χρύσανθος ἐμελέτησε τὴν βιβλιοθήκην τῆς τῶν Ἰβήρων μονῆς, ἐν ᾧ ἀφ' ἑτέρου λείπουσι νῦν τινα ἐκ τῶν ὑπ' ἐκείνου ἀναγεγραμμένων ὡς περιλαμβανομένων ἐν τῷ ὑπ' ὄψιν ἡμῶν κώδικι.

Τῶν ἐπιστολῶν τούτων ἡ πρὸς τὸν μητροπολίτην Θεσσαλονίκης σταλεῖσα ἐγράφη πάντως πρὸ τοῦ 1384, καθ' ὃ ἔτος οὗτος καθῃρέθη ὑπὸ τοῦ πατριάρχου ὡς ἐγκαταλιπὼν τὸ ποίμνιόν του ἐν τῷ μέσῳ τοῦ κινδύνου (1). Τὸ δ' ἔτος τῆς συντάξεως τῶν ἄλλων ἐπιστολῶν δὲν δυνάμεθα νὰ ὁρίσωμεν ἀκριβῶς· ἀλλὰ τοῦτο κἂν γίνεται δῆλον περὶ τῶν πλείστων ὅτι ἐγράφησαν ἐν χρόνοις ἐμφυλίων σπαραγμῶν καὶ κινδύνων τοῦ βυζαντιακοῦ κράτους, οἷοι οἱ ἐπὶ τῆς μακρᾶς βασιλείας Ἰωάννου τοῦ Παλαιολόγου. Οὕτως ἡ πρὸς τὸν Πόθον πρώτη ἐπιστολὴ ἄρχεται διὰ τῶν ἑξῆς· «Χάρις τοῖς βασιλεῦσιν, ἀπαλλαγεῖσι μὲν τῆς πρώτης » πρὸς ἀλλήλους διαφορᾶς καὶ τῆς μελαίνης δέ γε τύχης ἡμᾶς ὀψὲ καὶ » μόλις ὁπωσοῦν ἀπαλλάξασιν, ὑφ' ἧς τὸ ἡμέτερον γένος, τοσοῦτον » ἤδη χρόνον φθειρόμενον, οὐκ ἔτι γένος οὐδ' ἔθνος, ἀλλὰ κατάλειμμά τι » γένους γεγένηται καὶ οἷον οὐκ ἄν τις ῥᾳδίως γνωρίσειε πότερον γένους » μέρος ἢ ἴχνος ἔθνους καθέστηκε, καὶ ὅτι τῷ τῆς εἰρήνης καλῷ ὑπο- » ψία μὲν ἀπελήλαται πᾶσα, φόβος δὲ ἅπας ἐκκέκρουσται καὶ τοῦ » δέους ἀπαλλαγέντες οἱ φίλοι τοῦ γράφειν ἀλλήλοις ἀδεῶς ἤρξαντο». Τοιαῦτα δὲ λέγονται καὶ ἐν ἄλλῃ ἐπιστολῇ, τῇ δευτέρᾳ τῶν πρὸς τὸν

(1) *Miklosich καὶ Müller* Acta patriarchatus Constant. CCCLXXVIII.

Κυδώνην· «ἐκεῖνος ἄν σοι παραστήσαι (1) ἀληθῶς τήν τε τῆς ἡμε-
» τέρας ψυχῆς διάθεσιν καὶ ὅπως εὐφήμως ἄγειν ἐς ἀεὶ διὰ σπουδῆς
» ποιοῦμαι τὰ σά. Ἐβουλόμην δέ γε καὶ γράμμασι συχνοῖς τουτὶ παρι-
» στᾶν καὶ ὅ τῇ γλώττῃ δεικνύειν οὐκ εἶχον φιλοτίμως φεύγων τὸ φορ-
» τικόν, τοῦτο τούτοις ἀναπληροῦν, καὶ τῷ διδόναι (2) τε καὶ λαμβά-
» νειν μεγίστην εἶχον ἂν καρποῦσθαι τὴν ἡδονήν. Ἐπεὶ δὲ πονηρὸς
» Τελχὶν (3) τοῖς τῶν Ῥωμαίων καθάπερ βασκήνας πράγμασι πάντ'
» ἄνω καὶ κάτω κυκᾶν ἐσπούδακε καὶ πολλήν τινα τὴν τῆς κακίας
» ὁμίχλην ἡμῖν ἐπήνεγκεν ὡς φιλονεικῆσαι μικροῦ καὶ τὸ κατάλειμμα
» τοῦ γένους ἡμῶν τὸ μικρόν τε καὶ εὐτελὲς παντελῶς ἀφανίσαι, κάν-
» τεῦθεν ἄλλα τε μυρία προβῆναι δεινὰ παρεσκεύακε καὶ δὴ καὶ τοὺς
» φίλους ἀλλήλοις ἐπιστέλλειν κεκώλυκεν, ἠλγοῦμεν μέν, ὡς εἰκὸς ἦν,
» ἐφέρομεν δ' οὖν οὐκ ἐθελονταὶ τῇ τῆς τύχης ἀνάγκῃ βίᾳ πειθόμενοι.
» Τοῖν γὰρ βασιλέοιν ἐς ἄκρον ἐπὶ μεγίστῳ κακῷ τῶν Ῥωμαίων ἀν-
» τικαθισταμένοιν ἀλλήλοιν, ἐπέκλυζε τὰ δεινὰ τῆς ἐμφυλίου στάσεως
» δίκην φλογὸς ἀναρριπισθείσης καὶ οὔτε τι βούλευμα ὑγιὲς ὑπὲρ τῶν
» κοινῶν ἦν οὔτε πρᾶξις ἀνάλογος πρὸς τὴν τῶν δεινῶν ἀποσόβησιν,
» ἀλλ' ἕκαστος ἑκατέροιν τοῖν βασιλέοιν τὰ πρὸς ἡδονὴν βουλευόμενοι
» καὶ τά γε σφίσιν αὐτοῖς αἰσχρὰν τιμὴν καὶ πλοῦτον ἀσελγῆ προξενή-
» σοντα, τὰ τῶν Ῥωμαίων ἐς τοῦτο τύχης συνήλασαν ἀφ' οὗ δὴ καὶ
» πλεῖστοι τιμῆς μὲν μεγίστης παρὰ τὴν ἀξίαν τετυχήκεσαν, πλούτου
» δ' αὖ ἀδίκου καὶ παραλογωτάτου κύριοι καθεστήκεσαν. Ἐν γὰρ δι-
» χοστασίᾳ (4), φασίν, ὁ μὲν πάγκακος τυγχάνει τιμῆς, ὁ δὲ καὶ ὁπωσοῦν
» μετεσχηκὼς τοῦ βελτίονος θρήνων ἄξια πάσχει καὶ τραγικῶν ἐμπί-
» πλαται συμφορῶν, ὃ δὴ καὶ ἡμῖν ἐκ τοῦ ἐπὶ πλεῖστον συμπέπτωκε».
Ἐκ δ' ἄλλων ἐπιστολῶν τοῦ Ποταμίου μανθάνομεν ὅτι ἔζη μακρὰν
τῆς βασιλευούσης ἐπὶ μακρόν, οὐκ ὀλίγον ἀχθόμενος ἐπὶ ταύτῃ τῇ ὑπερ-
ορίᾳ. Οὕτως ἔγραψε τὰ ἑξῆς ἐν τῇ αὐτῇ πρώτῃ τῶν πρὸς τὸν Πόθον
ἐπιστολῶν, ἧς ἀνεκοινώσαμεν ἀνωτέρω τὴν ἀρχήν· «πρὸς γὰρ τοῖς
» ἄλλοις κακοῖς, οἷς ἡμῖν ἡ παρεληλυθυῖα παρεσκεύακε δεκαετηρίς, καὶ
» βεβαρβαρῶσθαι πεποίηκε, τοῦτο μὲν ὅτι βαναυσώδεσιν ἀνθρώποις ἐς

(1) Κώδ. *παραστήσει*
(2) Κώδ. *διδῶναι*
(3) Κώδ. *τέλχιν*
(4) Κώδ. *διχοστασι*

» τὸ διηνεκὲς συνδιήγομεν καὶ χωρίοις ἐνδιετρίβομεν Μούσης τε καὶ » παιδείας ἑλληνικῆς εἰς ἄπαν (1) ἀπῳκισμένοις, τοῦτο δ' ὅτι καὶ » βιβλίων ἁπάντων ἀποστερηθέντες τῇ τῶν ἐμφυλίων πολέμων καινο- » τομίᾳ οὐκ εἴχομεν ὁτῳδήποτε τρόπῳ τοῖς λόγοις μετ' ἀκριβείας προς- » φέρεσθαι καὶ χρῆσθαι τούτοις θαρρούντως οἱονεὶ τῆς στάθμης οὐκ » οὔσης, ἀλλὰ συσπειρώμενοι τῇ οἰκίᾳ μόνοι μόνοις ἡμῖν αὐτοῖς γε διε- » λεγόμεθα, τῶν προτέρων ἐκείνων ἀναμιμνησκόμενοι μαθημάτων. » Πρός γοῦν τῷ μὴ προςκτήσασθαί τι τῶν βελτιόνων ἐν τῇ τῆς πα- » τρίδος φυγῇ καὶ τοὐναντίον πεπονθέναι συμπέπτωκε.» Ὁμοίως δὲ καὶ ἐν τῇ τρίτῃ τῶν πρὸς τὸν Πόθον ἐπιστολῶν γράφει ὁ Ποτάμιος· « καί με σοφίζεσθαι φῂς μεταβεβλῆσθαι φάσκοντα πρὸς ἤθη τινὰ καὶ » βάρβαρον γλῶτταν οἷα πολὺν ἤδη χρόνον τοιούτοις ἐνδιαιτώμενον » καί, μετ' εἰρωνείας τῇ ῥητορείᾳ χρώμενον, οὕτω μᾶλλον τὸ τῶν » λόγων ἐπιδείκνυσθαι κάλλος καὶ τὴν ἐν τούτοις ἰσχὺν ἀπάτῃ σοφι- » στικῇ συγκρύπτειν (2) δῆθεν πειρώμενον.» Ἐν δὲ τῇ πρὸς Γεμιστὸν καὶ Ἀθηνόδωρον ἐπιστολῇ ἀναγινώσκομεν καὶ τάδε· « ἐπαινῶ δ' αὖ » τοὺς ταύτην αἱρουμένους θαυμάζειν καὶ κοινωνοὺς ὑμῖν τοῦ καλοῦ » γιγνομένους οἷς ἐπαινεῖν αἱροῦνται τὸν ὑμέτερον βίον· καὶ γὰρ πλῆθος » ὁρῶντες τοὺς ἀφικνουμένους ἐκεῖθεν, ἐκλεγόμενοι τοὺς βελτίους πυν- » θανόμεθα περὶ τῶν ὑμετέρων συχνῶς, εἰ καλῶς ταῦτα σύν γε θεῷ » καὶ μετ' ἐπιφόρου πνεύματος τῆς λαμπρᾶς τύχης χωροίη. Πάντων » δ' ὁμοῦ τὰ καλὰ λεγόντων ὁμοίως καὶ ὡς ἀπὸ μιᾶς γλώττης νῦν » μὲν ὅπως ἔχετε συμπνοίας τε καὶ συμφυίας ᾀδόντων, ὡς μίαν μὲν » δοκεῖν εἶναι ψυχήν, δύο δὲ τὰ ὑπ' ἐκείνης κινούμενα, νῦν δ' ὅπως » ἐσπουδακότες εἴητε περὶ τοὺς λόγους διατεινομένων καὶ ταῦτ' ἐν » τοσούτῳ βαρβάρου γλώττης πελάγει, καὶ νῦν μὲν ὅπως διὰ σπου- » δῆς πεποίησθε τοὺς ὑπὲρ εὐσεβείας λόγους καὶ ταῦτ' ἐν τῷ τῆς » ἀσεβείας πυθμένι ἐν ᾧ μάλιστα καὶ τὸ τῆς εὐσεβείας κράτος ὑμῖν » προςήκει παρρησιάζεσθαι, νῦν δ' ὅπως ὁμοῦ πάντας σχεδὸν τοὺς » ἀπὸ Χριστοῦ τὴν κλῆσιν ἐσχηκότας καὶ δεομένους ἐν καιρῷ τῆς » παρ' ὑμῶν βοηθείας εὖ ποιεῖν προτεθύμησθε καὶ μηδενὸς τῶν ἐκ » θεοῦ δεδομένων ὑμῖν ἀγαθῶν ἀποστερεῖν, χαίρομεν.»

Ἐν δὲ τῇ πρὸς τὸν Καντακουζηνὸν ἐπιστολῇ εὑρίσκομεν γεγραμ-

(1) Κῶδ. *εἰςάπαν*

(2) Κῶδ. *συγκρίπτειν*

μένα εὐθὺς ἐν ἀρχῇ τὰ ἑξῆς· «τοῦ καλοῦ Χρυσολωρᾶ συνάμα τῷ » χρηστῷ Βρυεννίῳ διαπρεσβεύειν τὰ τοῦ βασιλέως μέλλοντος πρὸς » τὸν βάρβαρον καὶ διὰ τὸ τῆς ἀγούσης κοινὸν καὶ ὡς ἡμᾶς ἀφιγμέ- » νου, πολλὴ μὲν ἡμῖν ἐπῄει χαρὰ τῆς τοῦ ἀνδρὸς διὰ χρόνου συνου- » σίας ὡς ἑρμαίου τινὸς ἐξαπίνης τετυχηκόσιν, οὐκ ὀλίγη δ' αὖθις ἡδονὴ » τὴν ἐμὴν κατέσχε ψυχὴν ῥέοντος ἐκείνου τῷ πόθῳ....... Σὲ δ' αὖθις » ἀμείβεσθαι λόγοις ἐθέλων ὑπέρ τε τῶν καλῶν ὧν ἐσχήκεις καὶ τοῦ » τῶν ἡμετέρων μεμνῆσθαι, ὑπό τε τῆς ἀγροικίας ᾗ συνέζων (1) καὶ » ὤφθην (2) ἤδη τρισκαιδέκατον ἔτος καὶ τῆς συρφετώδους ταύτης καὶ » μοχθηρᾶς πολιτείας, ᾗ δή μοι συνοικεῖν ἄχρι καὶ ἐς τὴν τήμερον » συνηνέχθη, ἔτι τε καὶ τοῦ τῶν βίβλων ἁπασῶν μακρὰν (3) ἀπῳκίσθαι· » (τὰς (4) μὲν ἀπολωλέκαμεν αὐτόσε ἐπ' ἀλλήλους τραπέντες καὶ τὰ » ἀλλήλων ὡς ἀλλοφύλων ἀφειδῶς διαρπάζοντες, τὰς δ' οἰκτρῶς ἄγαν » τῇ λῃστρικῇ καὶ συνεχεῖ τῶν τριήρων ἐφόδῳ τῇδε ἐζημιώμεθα) ὑπὸ » γοῦν τῶν αἰτιῶν ὧν εἰρήκαμεν τούτων τοῦ τε Ἕλληνος λόγου καὶ » τοῦ ἀττικίζειν μακρὰν ἀπεσχοινισμένοι, οὐκ ἔχομεν χρῆσθαι τῇ γρα- » φίδι θαρρούντως ὥστε τοὺς ἐμοὺς ἀμείβεσθαι φίλους τοῖς καθήκουσι » λόγοις καὶ κοσμεῖν τὰ γιγνόμενα. Ὅθεν καὶ δέει τοῦ παραληρεῖν » μᾶλλον ἤ τι τῶν εἰκότων δόξαι λέγειν τοῖς φίλοις τὸ σιγᾶν πρὸς » πάντας εἱλόμην, βέλτιον τοῦτ' εἶναι νομίσας ἢ λέγειν προκρίναι τάς » τε τῶν φίλων ἀκοὰς ἀποκναίειν καὶ τῇ πατρίδι πολλὴν προξενεῖν » τὴν αἰσχύνην, ᾗ δὴ καὶ χάριτας ὅ τι πλείστας τε καὶ μεγίστας » ὀφείλω ὧν τέ με ἤνεγκε χάριν καὶ ὧν ἔθρεψεν ἐπιμελῶς καὶ ὧν ἐπαί- » δευσεν ἱκανῶς καὶ λόγοις ἐκόσμησεν ἐκ νέου (5) εὐθὺς, εἰ καὶ ὁ μα- » κρὸς ὕστερον χρόνος ῥέων ταῖς ἀλληλοδιαδόχοις συμφοραῖς παντα- » χόθεν κατεργαζόμενος ἡμᾶς ἐκμυζᾶν πειρῷτο (6) καὶ τὴν τῶν ἡμε- » τέρων λόγων ἀκμὴν ἀμβλύνειν ἐσπεὶ σχεδὸν μηχανῷτο.» Τέλος ἐν τῇ τελευταίᾳ τῶν ἐπιστολῶν, τῇ πρὸς τὸν βασιλέα, φέρονται τάδε· «τὰ » δ' ἐφεξῆς τῷ θεῷ πάντως ἐπιτρεπτέον τῷ δυναμένῳ τὰ τοιαῦτα

(1) Κῶδ. *συνέζη*
(2) Ἴσως γραπτέον *ὠχέθην*
(3) Κῶδ. *μακρῶν*
(4) Κῶδ. *τὰ*
(5) Κῶδ. *νέας*
(6) Κῶδ. *ἐκμυζεῖν πυρῶτο*

» πρὸς τὸ κρεῖττον μετασκευάζειν ῥαδίως, καὶ ᾧ τῶν ἐμῶν εὖ οἶδ᾽ ὅτι » μελήσει τῇ συνήθει(1) φιλανθρωπίᾳ χρωμένῳ, εἰ καὶ ἐγὼ δοῦλος » ἀγνώμων περὶ τὸν εὐεργέτην φανεὶς καὶ κακῶς διατεθεὶς περὶ τἀκεί- » νου, μακρὰν ἀεὶ γιγνοίμην ἐκείνου. Ὅθεν δὴ καὶ συμπίπτει μοι τὰ » δεινὰ καθ᾽ ἑκάστην δίκην νιφάδων τῆς ἐκείνου βοηθείας ἐστερημένῳ.»

Αἱ ἐπιστολαὶ ὧν παρεθέσαμεν ἀποσπάσματα πείθουσιν ὡς ἐκ τῶν χρόνων ἐν οἷς ἐγράφησαν, οὓς μανθάνομεν ἐκ τῶν εἰς οὓς ἀπευθύνονται, ὅτι ὁ γράψας αὐτὰς Θεόδωρος ὁ Ποτάμιος εἶνε ὁ αὐτὸς καὶ ὁ γράψας τὴν εἰς τὸν θάνατον Ἰωάννου τοῦ Παλαιολόγου μονῳδίαν. Ὥστε κατὰ ταῦτα διορθωτέον καὶ τὸ ὄνομα *Ποτάκιος* τὸ ἐπὶ τῆς ἐπιγραφῆς τῆς μονῳδίας ἐν τοῖς δύο σωζομένοις αὐτῆς ἀπογράφοις εἰς *Ποτάμιος*, ὅπερ φαίνεται ὑπάρξαν τὸ ἀληθὲς ὄνομα τοῦ συγγραφέως. Περὶ δὲ τούτου ἱκανὰ μὲν διδάσκουσι τὰ παρατεθέντα τῶν ἐπιστολῶν ἀποσπάσματα, ἀλλ᾽ ἀνεπαρκῆ πρὸς γνῶσιν ἐντελῆ τῶν κατ᾽ αὐτόν. Ὅτι δ᾽ ὅμως ἦτό τις τῶν παρὰ τοῖς Βυζαντίνοις γνωρίμων ἀποδεικνύουσιν αἱ σχέσεις αὐτοῦ πρὸς τοὺς ἐπιφανεῖς ἄνδρας εἰς οὓς ἐπιστέλλει.

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΣ

ΕΠΙΣΤΟΛΗ ΜΑΞΙΜΟΥ ΤΟΥ ΠΛΑΝΟΥΔΗ

ΠΕΡΙ ΜΕΜΒΡΑΝΩΝ

Ἐν τῷ ὑπ᾽ ἀριθ. 184 κώδικι τῆς ἐν Ἁγίῳ Ὄρει εὐαγοῦς μονῆς τῶν Ἰβήρων περιέχεται μεταξὺ ἄλλων ἐπιστολῶν τοῦ γνωστοῦ λογίου μοναχοῦ τοῦ ιδ᾽ αἰῶνος Μαξίμου τοῦ Πλανούδη, αἵτινες εἶνε ἐν συνόλῳ ἑκατὸν εἴκοσι καὶ μία τὸν ἀριθμόν, καὶ ἡ ἑξῆς (κώδ. φ. 96, α-β) ἣν δημοσιεύομεν ἐνταῦθα ὡς περιέχουσαν ἀξίας λόγου εἰδήσεις περὶ τῆς παρασκευῆς τῆς μεμβράνης.

Ἡ ἐπιστολὴ αὕτη ἐπιγραφομένη «τῷ αὐτῷ» ἐστάλη, ὡς φαίνεται ἐκ τῆς ἐπιγραφῆς τῆς προηγουμένης ἐπιστολῆς, εἴς τινα Μελχισεδέκ, ἔχει δ᾽ ὡς ἑξῆς·

« Ἐπειδὴ καθάπαξ ὑπέστης ἡμῖν τὰ κατὰ τὰς μεμβράνας ὑπηρε-

(1) Κώδ. *συνήθη*

» τήσασθαι, πάντως ἂν ἀνάσχοιο κἂν εἴ τι προσεπιστείλωμεν (1) οὐδ' » ὀχληρὸν ἢ δυσχερές σοι τὸ γραφόμενον δόξειεν, ὡς δεῖ ταύτας εἶναι » λεπτὰς, μήπως ἐξ ὀλίγων παχεῖαν καὶ γαστρώδη συνθῶμεν βίβλον, » ἀλλ' ἐκ πολλῶν ἰσχνοτέραν καὶ ὡς φάναι εὐζωνοτέραν, ἔτι μηδ' ᾠῷ » ταύτας περικεχρίσθαι, ὅπερ αἱ παθοῦσαι δέχονται μὲν ἐπὶ τοῦ ᾠοῦ » τὰ γράμματα, οὐκ ἐφ' ἑαυτῶν, εἰ δέ που ὕδωρ θεάσονται, αὐτίκα » σὺν τῷ ᾠῷ καὶ τὰ γεγραμμένα ἀπέπτυσαν καὶ ἀπετινάξαντο, καὶ » ὁ τοῦ γράφοντος πόνος εἰς ἀέρα φροῦδος ἐχώρησε. Τὸ γὰρ ᾠὸν, ἐν » μεταιχμίῳ τῶν τε γραμμάτων καὶ τῆς μεμβράνης κείμενον, ἐπειδὰν » ἐκκλυσθῇ συνεκκλύζει ἑαυτῷ καὶ τὰ γεγραμμένα. Ἐπέμφθη σοι δὲ » καὶ δύο μέτρα διφύλλων διὰ τούτου δὴ τοῦ παρόντος, ὧν ἐπὶ μὲν » θατέρῳ τῷ μείζονι μεμβράνας ὠνήσῃ μικρὰς τοῦ ἡμίσεος τιμή- » ματος, δίφυλλον ἓν ἑκάστης ἀποδιδούσης ὡς τό τε μῆκος ὁρᾷς καὶ » τὸ πλάτος, ἐπὶ δὲ τῷ λοιπῷ τῷ ἐλάττονι τοῦ λοιποῦ τιμήματος » ὠνήσῃ μείζους ὡς ἑκάστην εἰς δύο δίφυλλα τέμνεσθαι, τοῦ μήκους » κἀνταῦθα πάλιν παρόντος ὑμῖν καὶ τοῦ πλάτους διὰ τοῦ μέτρου. » Ὡς μὲν || (2) οὖν καὶ καθαρείους εἶναι δεῖ ταύτας, τοῦτ' αὐτὸς οὐ » βούλομαι λέγειν· σὺ γὰρ αὐτὸς φροντίσεις. Ὡς δὲ διὰ ταχέων δεῖ » πέμπεσθαι, τοῦτο καὶ πάνυ λέγω καὶ πάλιν αὖ μάλα λέγω. Καὶ » γὰρ εἰ μὴ θᾶττον ἔλθοιεν, ἀμβλυτέραν ποιεῖς τὴν χάριν. Ἐγὼ δέ » σε βούλομαι διὰ πάντων εὐδοκιμεῖν καὶ τοῖς φίλοις οὐδὲν ἧττον τα- » χείας παριστάνειν τὰς χάριτας.»

Ἐκ τῆς ἐπιστολῆς ταύτης μανθάνομεν τὴν ἐν τῷ δεκάτῳ τετάρτῳ αἰῶνι ἐξακολούθησιν τῆς χρήσεως τῆς μεμβράνης, ἥτις καὶ ἄλλως εἶνε ἡμῖν γνωστὴ διὰ τῆς εὑρέσεως χειρογράφων γεγραμμένων ἐπὶ τοιαύτης ὕλης, εἰ καὶ αὕτη καθίσταται σπανιωτέρα ἀπὸ τοῦ δεκάτου τρίτου αἰῶνος καὶ ἐφεξῆς, ἀντικατασταθεῖσα τὸ μὲν πρῶτον ὑπὸ τοῦ βομβυκίνου, εἶτα δὲ μετά τινας αἰῶνας ὑπὸ τοῦ κοινοῦ χάρτου. Μανθάνομεν δ' ἐξ αὐτῆς καὶ τὸ κυριώτατον προσὸν τῆς καλῆς μεμβράνης, τὴν λεπτότητα, ἣν ἀπὸ παλαιῶν ἤδη χρόνων ἐπεδίωκον οἱ βιβλιογράφοι. Ἤδη Ἰωάννης ὁ Χρυσόστομος, κατηγορῶν τῶν συγχρόνων ὡς μὴ διατριβόντων περὶ τὰ χριστιανικὰ βιβλία, ἐπιλέγει ὅτι καὶ οἱ ὀλίγοι ὅσοι κέκτηνται τοιαῦτα *τοῖς οὐκ ἔχουσιν ὁμοίως διάκεινται,*

(1) Κώδ. *προσεπιστείλομεν*

(2) || **Κώδ. φ. 96, 6.**

δήσαντες αὐτὰ καὶ ἀποθέμενοι διὰ παντὸς ἐν κιβωτίοις· καὶ ἡ πᾶσα αὐτοῖς σπουδὴ περὶ τὴν τῶν ὑμένων λεπτότητα κτλ. (1) Διακρίνονται δ' αἱ παλαιότεραι μεμβράναι τῶν κατασκευαζομένων κατὰ τοὺς τελευταίους τῶν μέσων αἰώνων χρόνους διὰ τὴν μείζω αὐτῶν λεπτότητα. Ἀναφέρονται δὲ καὶ ὀνομαστὶ κώδικες διάσημοι ἐπὶ τῇ λεπτότητι τῶν μεμβρανῶν, οἷοι ὁ σιναϊτικὸς καὶ ὁ βατικανικὸς κῶδιξ τῆς Ἁγίας Γραφῆς(2).

Τὸ δὲ ᾠὸν οὗ τὴν χρῆσιν ἀπαγορεύει ὁ Πλανούδης κατὰ τὴν παρασκευὴν τῶν περγαμηνῶν φαίνεται ὅτι ἐπεχρίετο ἐπ' αὐτῶν πρὸς λείανσιν καὶ λεύκανσιν τοῦ τριχωτοῦ μέρους τῶν δερμάτων καὶ ἐμπέδωσιν τῆς γραφῆς ἐπ' αὐτοῦ. Καὶ γνωστὰ μὲν εἶνε ἄλλα μέσα ὧν ἐγίνετο χρῆσις πρὸς τοῦτον τὸν σκοπόν, οἷον ἡ κίσσηρις καὶ ἡ ἄσβεστος(3), τοῦ δὲ ᾠοῦ γίνεται τὸ πρῶτον, καθ' ὅσον γνωρίζω, μνεία ἐν τῇ προκειμένῃ ἐπιστολῇ τοῦ Πλανούδη.

Διδακτικὴ τέλος εἶνε καὶ ἡ ὑπὸ τοῦ Πλανούδη εἰς τὸν Μελχισεδὲκ διδομένη ἐντολὴ περὶ ἀγορᾶς φύλλων περγαμηνῆς καθ' ὡρισμένα αὐτῷ στελλόμενα μέτρα. Βλέπομεν ἐντεῦθεν τὴν κατὰ τεμάχη πώλησιν τῶν μεμβρανῶν, αἵτινες διῃροῦντο εἶτα εἰς δίφυλλα κατὰ τὴν γραφὴν τῶν κωδίκων. Ἐννοεῖται δὲ δίφυλλον τὸ ἀπαρτίζον ἐν ὅλῳ, διὰ τῆς ἐν τῷ μέσῳ διαιρέσεως εἰς δύο φύλλα, σελίδας τέσσαρας· λυπηρὸν δ' εἶνε ὅτι ὁ Πλανούδης, ἀρκούμενος εἰς τὴν πρὸς τὸν φίλον ἀποστολὴν τῶν δειγμάτων, δὲν ὁρίζει τὰ μέτρα δι' ἀριθμῶν, οὐδὲ προςθέτει τὴν τιμήν, ἧς ἡ γνῶσις ἤθελεν ἀποβῆ ἡμῖν ἀξία λόγου.

Σημειωτέον δ' ὅτι ἐκ τῆς ἐπιστολῆς δὲν ἐξάγεται ἂν ὁ Πλανούδης ἔγραφεν ἐξ ἀποκέντρου μέρους πρὸς τὸν Μελχισεδὲκ διαμένοντα ἐν μεγάλῃ καὶ ἐμπορικῇ πόλει ἢ τοὐναντίον ἴσως ἂν ὁ μὲν Πλανούδης διέτριβεν ἐν τῇ βασιλευούσῃ ἢ ἄλλῳ τινὶ κέντρῳ, ἡ δ' ἀγορὰ τῶν μεμβρανῶν παρὰ τοῦ Μελχισεδὲκ ἔμελλε νὰ γείνῃ κατ' ἀγροὺς παρ' αὐτοὺς τοὺς τόπους ἐν οἷς παρεσκευάζοντο αἱ μεμβράναι.

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΣ

---

(1) Ἰωάννου τοῦ Χρυσοστόμου ὁμιλία εἰς Ἰωάννην λϐ' παρὰ Migne Ἑλλ.Πατρολ. τόμ. LIX σ. 187.

(2) Ἴδ. *Gardthausen* Griechische Paläographie σ. 41.

(3) Ἔνθ' ἀν. σ. 40. — *Wattenbach* Das Schriftwesen im Mittelalter ἐκδ. Β' σ. 170 κ. ἑ. — *Birt* Das antike Buchwesen σ. 365.

ΠΕΡΙ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΑΡΤΟΦΥΛΑΚΟΣ

ΒΙΟΓΡΑΦΙΚΑΙ ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ

ΥΠΟ

ΙΕΡΟΘΕΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΦΛΩΡΙΔΟΥ

Βιβλιοφύλακος τῆς ἐν Πάτμῳ σεβασμίας μονῆς.

Νικηφόρος ἱερομόναχος ὁ τὸ ἐπώνυμον Χαρτοφύλαξ, ἀνὴρ εὖ ἥκων παιδείας τῆς τε θύραθεν καὶ τῆς καθ' ἡμᾶς, γέννημα ἦν καὶ θρέμμα τῆς περικλεοῦς νήσου Κρήτης. Καὶ ἐν τίνι μὲν αὐτῆς πόλει ἐγεννήθη ἄδηλον, καθὼς καὶ ἐν ποίᾳ ἀκαδημίᾳ ἐξεπαιδεύθη· δύναται δέ τις νὰ εἰκάσῃ, ὅτι τὰ μὲν ἐγκύκλια μαθήματα ἐδιδάχθη ἐν τῇ ἑαυτοῦ πατρίδι, ἔρωτι δὲ ἀνωτέρας παιδείας φλεγόμενος μετέβη εἰς Βενετίαν, ὅπου ἐτελειοποίησε τὰς σπουδάς του, διδαχθεὶς τὴν ἱερὰν θεολογίαν, τὴν φιλοσοφίαν, καὶ τὴν λατινικὴν καὶ ἰταλικὴν γλῶσσαν. Ἤκμασε δὲ μετὰ τὰ μέσα τοῦ ις' καὶ τὰς ἀρχὰς τοῦ ιζ' αἰῶνος, σύγχρονος ὢν τοῖς τότε ἐπ' ἀρετῇ καὶ παιδείᾳ διαλάμψασι, τῷ τε ἀοιδίμῳ τῆς Ἀλεξανδρείας Πατριάρχῃ Μελετίῳ τῷ Πηγᾷ (ὅς καὶ *σοφώτατον διδάσκαλον* τῆς σεβασμίας ἡμῶν μονῆς καλεῖ αὐτὸν ἐν τῷ παρ' αὐτοῦ ἐπιβραβευθέντι αὐτῇ σιγιλλίῳ κατὰ τὸ ,αφϟζ' Ἰανουαρ. ιθ', ὅτε ἐτύγχανεν ὢν ἐπιτηρητὴς τοῦ οἰκουμενικοῦ θρόνου) (1) καὶ τῷ αὐτοῦ μαθητῇ Μαξίμῳ τῷ Πελοποννησίῳ, Κυρίλλῳ τῷ Λουκάρει, Μαξίμῳ τῷ Μαργουνίῳ καὶ Γαβριὴλ τῷ Σεβήρῳ, οἷς καὶ ἀντεπέστελλε. Πρῶτος δ' αὐτὸς συνέστησε τὴν τῆς Πάτμου σχολήν, διδάσκων ἐν αὐτῇ τῇ ἱερᾷ μονῇ τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου Ἰωάννου τὰ ἐγκύκλια μαθήματα, τήν τε ἱερὰν θεολογίαν καὶ τὴν Ἀριστοτελικὴν φιλοσοφίαν, πιθανῶς δὲ καὶ τὴν λατινικὴν γλῶσσαν. Καὶ ἐν ποίῳ μὲν χρόνῳ ἦλθεν εἰς Πάτμον καὶ συνηριθμήθη τῇ ἐν τῇ μονῇ ἀδελφότητι, τοῦτο εἰκάζεται ἔκ τινος ὑπομνήματος συντεθειμένου ὑπ' αὐτοῦ τούτου καὶ ἐν τῷ ΣΞΒ' χειρογράφῳ τεύχει τῆς μοναστηριακῆς βιβλιο-

(1) Τὸ σιγίλλιον τοῦτο τεταγμένον ἐν ἀριθ. 38 ἐκκλησιαστικῶν ἐγγράφων τοῦ γραμματοφυλακίου τῆς μονῆς ἐξέδωκε πρὸ εἰκοσαετίας ὁ φίλος Σακκελίων ἐν τῷ Εὐαγγελικῷ Κήρυκι ἔτ. Θ'. 1865, σελ. 133.

θήκης εὑρισκομένου (1). Ἐγένετο δὲ καὶ καθηγούμενος τῆς αὐτῆς μονῆς, ὡς αὐτὸς ὑπογράφεται ἔν τινι πρὸς Μάξιμον τὸν Πελοποννήσιον ἐπιστολῇ (2). Ἐδίδαξε δὲ διαρκῶς καὶ ἐπωφελῶς ἐπὶ εἴκοσιν ἔτη, ὡς δηλοῖ ἡ ἐφεξῆς ἐπιστολή (3). Οὗτος ᾠκοδόμησε τὸν πρὸ τοῦ πυλῶνος τῆς μονῆς μικρὸν ναὸν τῶν δώδεκα Ἀποστόλων, ἔσωθεν τῆς θύρας τοῦ ὁποίου ἐπέγραψε τὸ ἑξῆς ἐπίγραμμα:

Μύσταις Ἰησοῦ τοῦ θεανθρώπου Λόγου,
Πόθῳ ζέοντι καὶ μέσης ἐκ καρδίας,
Νικηφόρος Κρὴς τῆς μονῆς ἄρξας ποτὲ
Ταύτης, νεὼν ἤγειρα τοῦτον ἐκ βάθρων·
Ὑμεῖς δὲ, σεπτὴ δωδεκὰς Ἀποστόλων,
Καὶ πάντες ὅσοι τῆς δεκαπλῆς ἑπτάδος,
Ἐξευμενίζειν τὸν Θεὸν καὶ δεσπότην
Ἐμῶν ἕκατι μὴ λίποιτε πταισμάτων.
αχγ΄. ἐν μηνὶ Ἰουνίῳ.

Μετὰ δεκαετίαν δὲ ἀνήγειρε καὶ τὸ πρὸς δυσμὰς τὰς μονῆς ὡσεὶ τέταρτον ὥρας ἀπέχον μονύδριον (ἀσκητήριον εἴτε κάθισμα) τοῦ Εὐαγγελισμοῦ, καὶ τὸν ἐν αὐτῷ ναΐσκον τοῦ Ἀποστόλου Λουκᾶ, ἔσωθεν τῆς θύρας τοῦ ὁποίου ἐπέγραψε:

αχιγ΄.
Νούσῳ ἐπ' ἀργαλέῃ Νικηφόρος εὔξατο Λουκᾷ
Μύστῃ Χριστοῦ Κρὴς νηὸν ἀναθέμεναι.
Ῥαΐσ' ὁ δ' ἡνίκα νούσου, λύτρης μνήσατ' ἄρ' εὐχῆς,
Καὶ τὸν ἐδείματο οἷ σηκὸν ἀριπρεπέα.

Ἄδηλος δὲ εἰς ἡμᾶς εἶναι καὶ ὁ χρόνος καθ' ὃν προεχειρίσθη εἰς τὴν τῆς Λαοδικείας μητρόπολιν. Ὑπεδείχθη δὲ καὶ ὡς ὑποψήφιος τοῦ τῆς Κωνσταντινουπόλεως πατριαρχικοῦ θρόνου κατὰ τὸ 1620, ὡς δηλοῦται ἐκ τοῦ ὑπὸ στοιχ. Δ συνοδικοῦ ὑπομνήματος. Σώζεται δ' ἔτι καὶ νῦν ἐν τῷ σκευοφυλακίῳ τῆς μονῆς ἡ ποιμαντικὴ αὐτοῦ ἀργυρᾶ ῥάβδος, οὕτως ἁπλῶς φέρουσα τὸ ὄνομα αὐτοῦ: «*Νικηφόρου Λαοδικείας τῆς Φρυγίας*». Τὸ δὲ σκευοφυλάκιον τοῦτο, ἐντὸς τοῦ καθολικοῦ κείμενον, ἀριστερᾷ εἰσιόντι τὸ τοῦ ναοῦ ἄδυτον, καὶ *Ἔξω σκευοφυλάκιον* λεγόμενον, πρὸς διάκρισιν τοῦ ἔσωθεν αὐτοῦ τοῦ ἀδύ-

(1) Ὅρα ἔμπροσθεν στοιχ. Α.
(2) Ὅρα ὡσαύτως στοιχ. Β.
(3) Ὅρα στοιχ. Γ.

του ὑπάρχοντος ἑτέρου σκευοφυλακίου, ᾠκοδόμησεν ἰδίαις δαπάναις ὁ Νικηφόρος πρὸς φυλακὴν τῶν ἑαυτοῦ βιβλίων καὶ ἐπέγραψεν: «*Ἐνθάδε τεθησαύρισται τὰ βιβλία Νικηφόρου Λαοδικείας τοῦ Κρητός, προηγουμένου τῆς μονῆς ταύτης, οἰκοδομήσαντος ἐπὶ τούτῳ τοδὶ τὸ οἰκίδιον. Ἔτει Χριστοῦ ᾳχκε'*» (1). Ἀπεβίωσε δὲ τῷ 1628, ὡς φαίνεται ἐν τῷ βιβλίῳ, ἐν ᾧ, κατ' ἀρχαίαν συνήθειαν τῆς μονῆς, ἐγγράφονται οἱ ἀποβιοῦντες τῶν ἀδελφῶν: «*1628. Ὀκτωβρίου 14. Ἐκοιμήθη ὁ πανιερώτατος μητροπολίτης Λαοδικείας καὶ διδάσκαλος Νικηφόρος ὁ Κρητικός*». Πόσον δὲ παρώτρυνε καὶ ἄλλους ὁ ἀοίδιμος πρὸς ἔρωτα τῆς παιδείας, δείκνυται ἐξ ἀποσπάσματος ἐπιστολῆς πρὸς αὐτὸν τοῦ ἀποστατίδου Νεοφύτου Ῥοδινοῦ τοῦ Κυπρίου (2).

Α.

Ἐπὶ ἔτους τῆς τῶν ὄντων παραγωγῆς ,ζπζ', ἀπὸ δὲ τῆς σωτηρίας ἡμῶν ᾳφοθ', κατὰ μῆνα Αὔγουστον, τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις καὶ πνευματικοῦ πατρὸς κυρίου Μακαρίου τὴν τῆς ἡμετέρας ταυτησὶ εὐαγεστάτης καὶ βασιλικωτάτης μονῆς ποιμαντικὴν ἐργασίαν ἐκ Θεοῦ διέπειν καὶ διέρχεσθαι λαχόντος, τοῦ τε ἐν ἱερομονάχοις αἱ-

(1) Τὰ βιβλία ταῦτα ἐναπέκειντο ἐν τῷ ῥηθέντι σκευοφυλακίῳ μέχρι τοῦ 1859, ὁπότε τὸν κατάλογον τῶν ἐν τῇ βιβλιοθήκῃ χειρογράφων μετὰ τοῦ ἐλλογίμου φίλου Κ. Ι. Σακκελίωνος συντάττοντες μετεκομίσαμεν αὐτὰ εἰς τὴν βιβλιοθήκην. Ἦσαν δὲ πάντα ἐκκλησιαστικὰ ἐν μεμβράνῃ, οἷον τοῦ Μ. Βασιλείου, Γρηγορίου τοῦ Θεολόγου, Χρυσοστόμου καὶ ἄλλων ἐκκλησιαστικῶν πατέρων. Πολλὰ δὲ καὶ ἔντυπα, καὶ δὴ ἐκ τῶν πρώτων ἐκδόσεων, σώζονται εἰσέτι ἐν τῇ βιβλιοθήκῃ, τὸ ὄνομα φέροντα τοῦ Νικηφόρου ὡς κτήτορος, ἐκκλησιαστικά τε καὶ ἐξωτερικά, ἐν οἷς διακρίνεται καὶ ἡ τοῦ Πινδάρου εἰς σχῆμα τέταρτον μετὰ σχολίων, ἧς ἐν τῷ περισελίδῳ εὕρηνται ἕτερα σχόλια χειρόγραφα ἀνέκδοτα, ἅπερ ἐπιμελῶς ἀντιγραφέντα ὑπὸ τοῦ φιλοπόνου νέου Ἀλκιβιάδου πατρώζοντος υἱοῦ τοῦ φίλου Σακκελίωνος, πατρικῇ ὑπείκοντος προτροπῇ, ἐξεδόθησαν ἐν Ἀθήναις τῷ 1875 ἀναλώμασι τοῦ περιοδικοῦ Ἀθηναίου. Λεπτομερεστάτην δὲ τοῦ βιβλίου τούτου περιγραφὴν ἐδημοσίευσεν ὁ διαληφθεὶς φίλος ἐν τόμῳ ΙΕ' τῆς Πανδώρας, σελ. 445, ὅπου ὁ ἀναγνώστης παραπέμπεται. Καὶ ἕτερον δὲ τοῦ αὐτοῦ εὑρίσκεται ἐν τῇ βιβλιοθήκῃ, τὸ ἑξῆς: «*Εὐριπίδου Τραγῳδίαι ἑπτακαίδεκα, ὧν ἔνιαι μετὰ ἐξηγήσεων. Ἐν Βενετίᾳ παρὰ Ἄλδῳ 1503*» εἰς σχῆμα ὄγδοον. Μετήλλαξε δὲ τὸ βιβλίον τοῦτο κτήτορας τέσσαρας, ὧν τελευταῖος ὁ Νικηφόρος, ὡς ἕκαστος οἰκείᾳ χειρὶ ἐσημειώσατο, οἷον: «*Ἐκ τῶν τοῦ Κωνσταντίνου Πατρικίου* (Εἶτα ὁ δεύτερος ἔγραψε) *ποτὲ μέν, νῦν δὲ ἐκ τῶν τοῦ Γεωργίου τοῦ Μαξίμου. Μαξίμου ἐπισκόπου Κυθήρων. Νικηφόρου ἱερομονάχου τοῦ χαρτοφύλακος*».

(2) Ὅρα ἔμπροσθεν στοιχ. Ε.

δεσίμου πατρὸς κυρίου Ἰωσὴφ τὴν ἐπίκλησιν Μεταλέου τὴν τῆς ἐκκλησίας ἀρχὴν κεκτημένου, τοῦ ἱεροῦ δὲ τῆς νέας Ῥώμης, τῆς Κωνσταντίνου φημί, καὶ θείου θρόνου τοὺς οἴακας τὸ τηνικαῦτα τοῦ παναγιωτάτου καὶ δεσπότου ἡμῶν κυρίου Ἱερεμίου διϊθύνοντος καὶ διακυβερνῶντος, ἐπὶ ἰνδικτιῶνος ὀγδόης, συνήχθημεν ἐπὶ τὸ αὐτὸ ἀπαξάπαντες οἱ τῆς μονῆς ἀδελφοί, ἐπιποθοῦντές τε καὶ ἱμειρόμενοι τοῦ τῆς μακαρίας ἔν τε ἀκολουθίαις τὸ ἐξαίρετον, ἔν τε σιτηρεσίοις καὶ ἐν ἀμφιάσμασι κοινοῦ διαύλου διαγωγῆς καὶ ξυνδιαιτήσεως, καὶ περὶ τούτου αὐτοῦ τοῦ μακαρίου φημὶ καὶ ἰσαγγέλου κοινοῦ ἐν πᾶσι καὶ ἀφρόντιδος βίου κοινολογησάμενοι, εὕρομεν καθ' ἕκαστον ἡμῶν οὐκ ἐπαχθῶς πρὸς τοῦτο ἔχοντα, ἀλλ' ἀσμένως ἀπαξάπαντας καὶ μεθ' ὅσης ἂν εἴποις τῆς περιχαρείας τε καὶ θερμότητος ἀποδεχομένους, καὶ τῷ καλῷ καὶ ψυχωφελεῖ τουτωὶ ξυμφωνοῦντάς τε καὶ συναινοῦντας σκοπῷ, πρὸς τὸ κάλλιστον καὶ θεοειδὲς τοῦ πράγματος ἀποβλέποντας· ὃ δὴ καὶ εἰς ἔργον ἀγαγεῖν οὐ προεθέμεθα, πρὶν ἢ καὶ τοῦ διαληφθέντος παναγιωτάτου δεσπότου ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου συναινοῦσαν τῇ ἡμετέρᾳ τὴν αὐτοῦ ἕξοιμεν γνώμην· ὃ καὶ κατὰ σκοπὸν ἡμέτερον γέγονε· μετὰ βάρους γὰρ μᾶλλον ἢ παραινέσεων, τὸ κάλλιστον καὶ αὐτὸς τῆς τοιᾶσδε ἐννενοηκὼς διαγωγῆς, παροτρύνων ὑπῆρχεν ἡμᾶς, εἰ μὴ τὸ καλῶς οὕτω καὶ θεοφιλῶς κοινῇ βουλευθὲν ἡμῖν ἐκπερανθήσοιτο. Διήγομεν τοιγαροῦν τὸν μακάριον καὶ θεάρεστον, τὸν κοινὸν τουτονὶ βίον, εὐδαιμόνως, καὶ ὡς ὑφ' ἑνὶ σώματι πολλὰ καὶ διάφορα μέλη ὑπ' ἀλλήλοις συνηρμοσμένοι, ἀλλήλων κηδόμενοι, τῆς τε τοῦ ἔκτοθεν σκήνους σωτηρίας καὶ τοῦ ἔνδοθεν αὐτῷ ἐγκατοικοῦντος πνεύματος, καὶ πρὸς ἀλλήλους φιλοστοργότερον ἢ πρὸς υἱοὺς πατέρες καὶ πρὸς ἀδελφοὺς ἀδελφοί, ὡς ἀδελφοὶ τῷ ὄντι πνευματικοὶ καὶ τοῦ ἐπουρανίου Πατρὸς ἡμῶν υἱοὶ διακείμενοι. Ἀλλὰ φεῦ, κακῇ τύχῃ, οὐκ εἰς πολλοῦ τοῦ χρόνου τοῦ καλοῦ καὶ ψυχωφελοῦς τοῦδε σκοποῦ τὸν καρπὸν συλλέγειν καὶ δρέπεσθαι δεδυνήμεθα, οὐκ ἀρκουσῶν δηλονότι τῶν τῇ μονῇ προσουσῶν προσόδων τε καὶ κτημάτων εἰς ἐπάρκειαν τῶν καθ' ἑκάστην ἐπισυμβαινουσῶν ἡμῖν ἀναλώσεων. Τουτὶ δὲ ἐπράττετο διὰ τὸ ἐγγειτονοῦσαν εἶναι, φεῦ, τὴν μονὴν τοῖς τὰ τοῦ κόσμου φρονοῦσι λαϊκοῖς, καὶ οἱονεὶ αὐτοῖς σύνοικον οὖσαν, οὓς τρὶς καὶ τετράκις περὶ τοὺς δέκα, καὶ περὶ τοὺς πεντεκαίδεκα, ἔσθ' ὅτε καὶ περὶ τοὺς πλείους τῶν πέντε πρὸς τοῖς

εἴκοσιν, ἐν τῇ τῆς μονῆς τραπέζῃ καθ' ἑκάστην ἑδρας ἑστιωμένους. Ἔνθεν τοι καὶ εἰς παντελῆ τὰ περὶ τὴν μονὴν ἐλθεῖν ἐκινδύνευεν ἀπώλειαν, καί, ἵν' οὕτως εἴπω, κατασκαφὴν ἐκ βάθρων αὐτῶν, ἀναξίως, οἶμαι, τῆς τοῦ καλῶς καὶ θεοφιλῶς αὐτὴν τῷ ἠγαπημένῳ ὀπαδῷ καὶ ἐπιστηθίῳ φίλῳ τοῦ Ἰησοῦ μου Χριστοῦ ἀνεγειράντος δούλου τῷ ὄντι καὶ θεράποντος ἀληθοῦς τοῦ Χριστοῦ, πατρὸς ἡμῶν Χριστοδούλου γνώμης θεαρέστου καὶ εἰλικρινοῦς πρὸς αὐτὸν ἀγάπης· ὃ καὶ μετ' οὐ πολὺ ἂν ἐγεγόνει, εἰ μὴ κηδόμενος τῶν τῆς μονῆς ὁ διαληφθεὶς καλὸς κἀγαθὸς ἱερὸς καὶ σεμνοπρεπὴς ἀνὴρ Ἰωσήφ, ὁ τὴν τῆς ἐκκλησίας, ὡς ἔφθην εἰπών, λαχὼν ἀρχὴν προεφθάκει παραγενόμενος πρὸς τὸν παναγιώτατον διαληφθέντα πατριάρχην (ἔτυχε γὰρ ἔτι ὁ αὐτὸς ἐγκαθιδρύσθαι τῷ θρόνῳ τῆς Κωνσταντίνου), ἀναγγέλλων καὶ δήλην αὐτῷ τὴν ἐσχάτην τῇ μονῇ ἀπειλουμένην προσγενήσεσθαι ἀπώλειαν ποιῶν, εἰμή γε αὖθις εἰς τὴν προτέραν τοῖς ἀδελφοῖς διαγομένην διαγωγήν, τὴν ἰδίως φημί, καθ' ἕκαστον ἐν σιτηρεσίοις καὶ ἀμφίοις ἐνδιατρέφεσθαι, ἐπαναστρέψοιτο. Οὐ διήμαρτε τοίνυν ὁ ἀνὴρ τοῦ σκοποῦ· ἐπινεύων γὰρ ἦν αὐτῷ ὁ παναγιώτατος, τὸ συνοῖσον καὐτὸς προνοῶν τῆς μονῆς, τηλικαύτη περιπεσεῖν κινδυνευούσης ἀνάγκῃ. Εἰληφὼς δὲ παρ' αὐτοῦ πιττάκιον ἔγγραφον, τὴν προτέραν, ὡς εἴρηται, τοῖς ἀδελφοῖς συγχωροῦν διαγωγήν, ἐπανῆκεν εὐθὺς εἰς ἡμᾶς, τὰ πραχθέντα αὐτῷ τοῦ συνοίσοντος ἕνεκεν τῆς μονῆς διαγγέλλων. Τοιγαροῦν τὴν καλῶς τὸ τηνικαῦτα καὶ ἐν ἀγαθῷ καὶ θεαρέστῳ κοινὴν ἡμῖν ἠργμένην τῷ σκοπῷ δίαιταν, εἰ καὶ μὴ κακῶς, οἶδε τὸ παντέφορον ὄμμα, ἀποσεισθεῖσαν ἡμῖν, ἀλλὰ τῷ μὴ παντελῶς ἐκ βάθρων αὐτῶν τὴν μονὴν κατασκαφήσεσθαι ταῖς ἐπιουσίοις δαπάναις, καταλιπόντες, τό γε νῦν εἶναι, τὸν πρότερον αὖθις διάγειν ἐσκεψάμεθα βίον κατὰ τὴν τοῦ ἐνισταμένου μηνὸς Ὀκτωβρίου α' ᾳφπα'. Συνάγονται δὲ τὰ πάντα ἔτη τοῦδε τοῦ κοινοβίου, ἔτη δύο καὶ μὴν εἷς. Σεσημείωται δὲ ταῦτα εἰς μνήμην τῶν μεταγενεστέρων, ὡς μὴ καὐτοί τοιοῦτόν τι τεθαρρηκότες ἐπιχειρήσασθαι ὡς καλόν, εἰ καὶ μὴ κακόν, ἄπαγε, τῆς μονῆς αὖθις τοῦ συμφέροντος ἐναντίοι ὦσιν, ὡς καὶ ἡμεῖς. Καθ' ὃν γὰρ καιρὸν ἡ διαληφθεῖσα τοῦ κοινοβίου ἦρκται διαγωγή, διαρκέσασα, ὡς εἴρηται, ἐπὶ ἔτη δύο καὶ μῆνα ἕνα, ἑξακοσίων πρὸς τοῖς δισχιλίοις νομίσμασιν ἀποτεθησαυρισμένη ποσότης καθέστηκε τῷ τῆς μονῆς σκευοφυλακίῳ· τούτων δὲ πάντων ἅμα τε

τῶν προσόδων ἁπασῶν τῆς μονῆς δαπανηθέντων, κατελείφθημεν, αὐτοῦ παυσαμένου, τοῖς λαϊκοῖς ὀφείλοντες ἄρχουσι περὶ τὰ ἐννεακόσια νομίσματα.

† *Μέμνησθε οἱ τούτοις ἐντυγχάνοντες τοῦ ἁμαρτωλοῦ ἱερομονάχου Νικηφόρου τοῦ Κρητὸς, ὃν ἡ φήμη παιδόθεν Χαρτοφύλακα οἶδεν ἐπικαλεῖν.*

B (1).

Μάξιμος ἱερομόναχος Μιχαήλῳ τῷ Κράλῃ.

Πενταετῆ φασι τοῖς τῷ Πυθαγόρᾳ φοιτᾷν αἱρουμένοις ἐπιτετράφθαι σιωπὴν ἄγειν, ὥς ἂν ἥ τε τῶν προσφοιτώντων πρὸς τὸν καθηγητὴν ὑπακοὴ, κᾀκείνου ἡ καινοτέρα πρὸς ἐκείνους ἀλαζονεία φανείη. Διὸ καὶ οὐδὲν ἕτερον αὐτοῖς τοῦ: *Αὐτὸς ἔφα*, ἐπετέτραπτο λαλεῖν. Σοὶ δὲ δὶς ἤδη τῷ σοφῷ Νικηφόρῳ κατὰ Πάτμον φοιτήσαντι, καὶ τῶν λόγων ἐκείνου ἐς κόρον κατατρυφήσαντι, οὐκ οἶδ' ἀνθ' ὅτου τὸ λαλεῖν ὅλως, καὶ ταῦθ' ἑξαετίας παριππευσάσης, οὐκ ἐπετράπη. Ἀλλ', ὡς ἔοικεν, ἐπετράπη μὲν (εἰ μή που μακρότερον Πυθαγόρου τοῖς μαθηταῖς ἐπενόησε Νικηφόρος τὴν σιωπὴν), οὐ μὴν δὲ πρὸς πάντας τῷ λαλεῖν χρῆσθαι. Εἰ γὰρ μὴ ταῦθ' οὕτως εἶχε, πάλαι ἂν ἔλυσας τὴν σιωπὴν, λακωνικὴν γοῦν γράψας ἐπιστολήν. Τί γὰρ ἂν ἄλλο εἴη τὸ ἀπεῖργόν σου τὴν παίδευσιν οὕτω μακρᾷ χρῆσθαι σιγῇ, καὶ ταῦτα συνεχῶς ἐπιστελλόντων, συνειδέναι οὐκ ἔχω. Πλὴν ἀλλὰ τοῦ λοιποῦ οὐκ ἂν φθάνοις ἐπιστέλλων, τὰ κατὰ σὲ ὡς ἔχει δηλῶν; Ὡς δὲ καὶ τό γε νῦν εἶναι τὸ πρόθυμον ἡμῶν πρὸς τὴν σὴν λογιότητα ἔκδηλον γένοιτο, οὐ δίκαιον ἡγησάμεθα καὶ μὴ διὰ τοῦ παρ' ὑμᾶς νῦν ἐρχομένου προσειπεῖν σου τὴν ἀγάπην. Εἴ σοι φίλον τὰ καθ' ἡμᾶς εἰδέναι, παρ' αὐτοῦ γε εἴσῃ· εἰ δέ ποθ' ἡμῖν γένοιτο ἐς Κωνσταντίνου ἀφικέσθαι, τότε δὴ καὶ ἃ φίλου, καὶ ὅσα φίλου, καὶ ὡς φίλον, διὰ ζώσης φωνῆς πεύσῃ. Ἔρρωσο. ᾳχϐ'.

Γ.

Νικηφόρος ὁ καθηγούμενος Πάτμου τῷ ὁσιωτάτῳ καὶ λογιωτάτῳ ἐν ἱερομονάχοις κυρίῳ Μαξίμῳ εὖ πράττειν.

Χαίρω σοφῶν ἐντυγχάνων γράμμασι, καὶ οἶμαι τῶν ἄλλων οὐδενὶ

(1) Ἡ ἐπιστολὴ αὕτη ὡς καὶ ἡ ἑπομένη μετελήφθησαν ἀπὸ τῶν Τύπων ἐπιστολῶν Θεοφίλου τοῦ Κορυδαλέως σελ. 162-64. Ἐνετ. ᾳψπϛ'.

κατὰ τοῦτο παραχωρεῖν τῶν πρωτείων· οὕτω καθ' ὑπερβολὴν τῷ πάθει τούτῳ κεκράτημαι· εἰ δὲ καὶ παρὰ φίλων ἐγχαραχθεῖσι, πάσης (ἴσ. *πόσης*) ἂν οἴει με τῆς ἡδονῆς πληροῦσθαι. Καὶ σοῖς τοίνυν ἐντυχὼν γράμμασιν ἀποσταλθεῖσί μοι παρά σου, καὶ σοφοῦ καὶ φίλου, πῶς οὐκ ἔμελλον οὐ μετρίως ἡσθῆναι; τοῦτο μὲν, διὰ τούτων τὸ πρὸς ἡμᾶς εὔνουν σου καὶ τὸ τῆς φιλίας εἰλικρινὲς στοχαζόμενος· τοῦτο δὲ, καὶ τὸ ἐν λέξεσι κομψὸν, καὶ τὸ τῶν ὀνομάτων ἀττικὸν καὶ ἀκριβῶς ἑλληνικὸν ἐν τούτοις κατανοῶν. «Αἲ γὰρ γὰρ Ζεῦ τε πάτερ (φαίην ἂν κἀγὼ κατὰ τὸν Ὁμηρικὸν Ἀγαμέμνονα), καὶ Ἀθηναίη καὶ Ἄπολλον, τοιοῦτοι δέκα μοι εἶεν υἷες Ἀχαιῶν», τάχ' ἂν ἐξῆς τὰ νῦν ἀπαιδευσίας τὸ τῶν Ἑλλήνων δυστυχὲς γένος ἀνήνεγκε, καὶ πρὸς τὴν προτέραν ἀποκατέστη εὐγένειαν, σοφοῖς καὶ αὖθις κατακοσμηθὲν ἀνδράσι, καὶ ὡς τὸ πάλαι γεγονὸς ἐπίφθονον. Ἀλλὰ ταῦτα μὲν ὡς τῷ Θεῷ δοκεῖ, οὕτω καὶ γενήσεται. Σὺ δέ μοι, φίλτατε (καλῶ δέ σε ὡς υἱόν, τοῦ χρόνου τοῦτό μοι φιλοτιμουμένου), φιλοπόνως πρόσκεισο τῇ ἀναγνώσει τῶν τε ἡμετέρων νῦν καὶ τῶν θύραθεν, τῶν πρὶν ἡμετέρων· ἐκ μὲν τῶν, τὴν ὕλην λαμβάνων καὶ τὸ τῶν λόγων ὑποκείμενον· ἐκ δὲ τῶν, τὸ εἶδος (εἰ χρὴ οὕτω φάναι), καὶ διὰ τοῦτο κατακοσμῶν αὐτοὺς ἐρασμιωτέρους τε ἀποδεικνύων, ἵνα καὶ ἡμᾶς μὲν εὐφραίνῃς τοιαῦτ' ἐργαζόμενόν σε πυνθανομένους, καὶ τὸ γένος δὲ τὸ ἡμέτερον ἐπὶ ποσὸν γοῦν ἐπιδοῦναι δυνηθῇ· τὸ δ' ἐξαίρετον καὶ πρῶτον, ἵν' ὁ Θεὸς δοξάζηται, καὶ παρὰ πάντων εὐλογῆται, ὃν εὔχομαι ἐρρῶσθαί σε, μεμνημένον καὶ ἡμῶν ἐν ταῖς πρὸς αὐτὸν ἱκετηρίοις σου ἐντεύξεσιν. Ἀπὸ τῆς καθ' ἡμᾶς σεβασμίας μονῆς Πάτμου τῇ ζ' Μαρτίου ͵αχζ'.

Δ (1).

† Ἐπειδὴ μετὰ τὴν τελευτὴν τοῦ μακαρίτου ἡμῶν πατριάρχου κυροῦ Τιμοθέου . . . . . ἔτι τότε πατριαρχεύοντος, τινὲς ἐξ ἡμῶν τῶν ἀρχιερέων εἰς τὸ μὴ ἁρπαγῆναι τὸν πατριαρχικὸν θρόνον ὑπό τινος δίχως γνώμης συνοδικῆς, καθάπερ ἐθρυλήθη, ἔκριναν μετὰ καὶ γνώμης τῶν τιμιωτάτων κληρικῶν καὶ χρησίμων ἀρχόντων, [καὶ] ἐμήνυσαν διὰ γραμμάτων καὶ τοὺς λοιποὺς τῶν ἀρχιερέων, πρὸς τούτοις

(1) Ἐκ τῶν Ἀνδρον. Κ. Δημητρακοπούλου Προσθ. καὶ διορθ. εἰς τὴν Νεοελλην. φιλολογ. Κωνστ. Σάθα, σελ. 39.

δὲ καὶ τὸν μακαριώτατον καὶ σοφώτατον πατριάρχην Ἀλεξανδρείας κύριον Κύριλλον, εἰς τὸ παραγενέσθαι ἐνταῦθα καὶ σκέψασθαι περὶ τούτου, καὶ ἤλθομεν σὺν Θεῷ καὶ ἀνεπληρώσαμεν τὴν ὑπέρ[τιμον] Σύνοδον. Τούτου χάριν καὶ συναχθέντες ἐν τῷ πατριαρχικῷ καὶ θείῳ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου ἐποιήσαμεν ψήφους κανονικὰς δι' αὐτὸν τὸν ἁγιώτατον καὶ ὑψηλότατον θρόνον τῆς Κωνσταντινουπόλεως, ἐν αἷς καὶ ἐθέμεθα πρῶτον μὲν τὸν προρρηθέντα μακαριώτατον πατριάρχην Ἀλεξανδρείας κύριον Κύριλλον· δεύτερον τὸν πανιερώτατον μητροπολίτην Λαοδικείας κύριον Νικηφόρον· καὶ τρίτον τὸν θεοφιλέστατον καὶ μουσικώτατον ἐπίσκοπον Ῥαιδεστῶν καὶ Πανίδου κύριον Μελχισεδέκ. Πλὴν πρὸ τῶν λοιπῶν ἐξελεξάμεθα ἄξιον καὶ ἐπιτήδειον εἰς τὴν τοιαύτην ἐπιστασίαν τὸν ἐπ' ἀρετῇ καὶ σοφίᾳ διαβόητον . . . . μακαριώτατον κύριον Κύριλλον. Ὅθεν καὶ εἰς δήλωσιν κατεστρώθησαν ἐν τῷ ἱερῷ τούτῳ κώδηκι τῆς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας καὶ ὑπογράφομεν οἰκειοχείρως. Ἐν ἔτει ,ςρχθ' Νοεμβρίου δ'. Ἰνδικτιῶνος Δ'.

[Ἕπονται αἱ ὑπογραφαὶ εἴκοσι καὶ ἓξ ἀρχιερέων.]

Ε (1).

Ἀνθότου κἀγὼ πάντα κάλων (ὃ δὴ λέγεται) σείσας καὶ τοῦ οὗ ἐφιέμην οὐχ' οἷός τε ὢν ἐν μετοχῇ γενέσθαι ἐν Ἑλλάδι τῇ ἐμῇ πατρίδι, ἄλλως τε καὶ τοὺς σοὺς πρὸ ὀφθαλμῶν ἀεὶ θέμενος λόγους, οὓς μοι πολλάκις ἔφησθα, οὐδὲν προτιμᾶν λέγων τῆς παιδείας, ἀλλὰ πάντων κατατολμᾶν, τῆς εἰς Ἰταλίαν φερούσης ἡψάμην ὅλῃ ψυχῇ, καὶ τοῦ ἐν Ῥώμῃ καθ' ἡμᾶς φροντιστηρίου ἐγκρατὴς (ὡς αὐτός με ἐνουθέτεις) ἐγενόμην. Ὁπόσοις δὲ δυσχερέσι καθ' ὁδὸν ἐνέτυχον, νῦν μὲν πειραταῖς κατὰ θάλατταν, νῦν δὲ κλύδωσιν ὑποβρυχίους ἡμᾶς ποιῆσαι ἀπειλοῦσιν, ἀσθενείαις ἄλλοτε, καὶ τοῖς τούτων παραπλησίοις, περιττὸν ἂν ἦν μοι διεξέρχεσθαι, ἅπερ δὴ καί περ οὕτως ὄντα δεινά, τὴν ἔφεσιν, ἣν οἶσθά με ἔχοντα εἰς τοὺς λόγους παρασαλεῦσαι οὐκ ἴσχυσαν.

Ἐν δὲ τῷ τῆς' χειρογράφῳ τεύχει τῆς μοναστηρ. βιβλιοθήκης εὕρηνται αἱ ἑξῆς τρεῖς ἐπιστολαὶ τοῦ ἀοιδίμου Μελετίου τοῦ Πηγᾶ πρὸς τὸν Νικηφόρον:

(1) Ἐκ τῶν *Κ. Οἰκον. σωζομ. Φιλολογ.* λεσ. 434.

Ἐπιστολὴ λε'.

Νικηφόρῳ.

Προσειπεῖν σε οὐκ ἀγνοῶν, πῶς σε προσείπω οὐ γινώσκω. Ἐβουλόμην οὖν παραγενόμενον εἰς μέσον τινὰ διδάσκειν ἐμέ. Ἀλλὰ δυσχεραίνεις χαλεπαίνοντί μοι ἐφ' οἷς πράττων διδάσκεις. Ἐγὼ μὲν οὖν εὐξαίμην ἂν πολλοῖς οὐκ Ἐλδὰδ μόνον καὶ Μωδὰδ τοὺς προφητεύοντας εἶναι ἐν καιρῷ τῆς εὐαγγελικῆς χάριτος, ἀλλὰ μὴ εἶναι οἵους ἂν ἐλέγξειεν ὁ Σωτὴρ ἐπὶ τῇ Μωσέως καθέδρᾳ καθεζομένους. Φέρω βαρέως ἄνδρα σε καὶ φίλον ὄντα, καὶ πράττειν καὶ λέγειν εὖ εἰδότα προσπλέκεσθαι τοῖς παρὰ τῶν ἱερῶν νόμων καθαιρέσει καὶ ἀναθέματι ὑποβεβλημένοις. Γλῶσσαν δὲ κινοῦμεν τὸ τοῦ λόγου ὄργανον, ἣν παρὰ τοῦ Λόγου εἰλήφαμεν, καίπερ ἔσθ' ὅτε πυρίνην. Ἐπειδὴ γὰρ ὁ Θεὸς πῦρ τὴν κακίαν καταναλίσκον, δεῖ πύρινον εἶναι τὸ ἐν ᾧ τὴν κακίαν καταναλίσκει. Οἶδας, νομίζω, προτέρας εἶναι τῶν δευτέρων ἐνδελεχειῶν τὰς πρώτας ἐνδελεχείας, ὥς σε ἡ καλὴ φιλοσοφία ἐπαίδευσεν, ὁμοφώνως τοῖς ἱεροῖς γράμμασιν. Ἐπεῖδε γὰρ (φησὶν) ὁ Θεὸς ἐπὶ Ἄβελ πρῶτον, μετὰ δὲ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, αὐτοὺς ἡμᾶς θέλει Θεὸς, μετὰ δὲ καὶ τὰ ἡμέτερα, λόγῳ παιδεύω, λόγῳ παιδεύομαι· οὐ γὰρ ἀνέχομαι τῇ σκηνῇ ταυτηί, ᾗ καὶ παίζει πολλοὺς καὶ πολλοῖς παίζεται, συμπεριφέρεσθαί τινας, καὶ τοὺς συμπεριφερομένους οἰκτείρων, οὐ μηχαναῖς, ἀλλὰ λόγῳ καὶ μόνῳ (Θεὸς μάρτυς) ἢ ἀνακαλοῦμαι, ἢ ἐλέγχω. Σήμερον μέλλων παραιτήσασθαι ἣν ὑπεσχόμην ὑπόσχεσιν τοῦ προσμεῖναι ἐν Κωνσταντινουπόλει, ἀξιῶ καὶ σὲ παραγενέσθαι. Γνώσῃ γὰρ τῆς κατὰ Θεὸν ἀγάπης τὸ εἰλικρινές, τοῦτο μὲν καὶ πρὸς τοὺς ἄλλους ἅπαντας, τοῦτο δὲ καὶ πρὸς τὴν σὴν ἀγάπην. Ἔρρωσο. ͵αφλγ'.

Ἐπιστολὴ ρλά.

Νικηφόρῳ ἱερομονάχῳ τῷ Χαρτοφύλακι.

Δεδέγμεθά σου, φίλον τέκνον, τὰς ἐπὶ τῇ φθασάσῃ παραιτήσεις σιωπῇ φιλανθρώπως οὕτως, ὥστε σε καὶ ἀτίμητον τῶν ἐγκλημάτων

ἀπολῦσαι· κ' οὐ δέδοια (γρ. *δέδια*) μή σου τῇ συνέσει τὸ καθ' ἡμᾶς εὐθεράπευτον ἐπιστολῶν αὖθις καθηγήσηται παραλείψεις. Τεκμαιρόμεθα δὲ τουτὶ κἀξ ὧν γράφεις. Εἰ γὰρ τὸ μεγίστους τινὰς ὑπολαβεῖν, καὶ ἀπροσίτους ἡμᾶς εἶναι σοφίᾳ καὶ ἀρετῇ, τὸ τρισόλβιον τῆς γλώττης κατέσχε σοι, λύσει πάντως τὸ εὐπροσίτους καὶ πάνυ μετρίους καταλαβεῖν ἀμφοτέρωθεν. Ἄλλως δὲ καὶ τὸ δὶς προσπταίειν ταὐτῷ ἥκιστά γε πρὸς σοφοῦ. Γράφε τοίνυν ἐπιστέλλων, ἐπιδιορθούμενος καὶ τὴν προλαβοῦσάν σου σιωπὴν, καὶ παραμυθούμενος τὰς ἡμετέρας ἀθυμίας, ὧν πολλῶν καὶ χαλεπῶν οὐσῶν, ἐκείνη τῶν ἄλλων ὑπερεκτήκει μου τὴν ψυχὴν, τὸ καθορᾶν τὰ καθ' ἡμᾶς παιδείας ἄγαν ἐστερημένα. Ταύτην δὲ ἢ μόναι, ἢ διαφερόντως καταψύχουσιν αἱ τῶν σπουδαίων ἐπιστολαὶ, ἀγάπης καὶ σοφίας τῆς αὐτῶν οὖσαι τεκμήριον. Τὴν δὲ ὑπόθεσιν τῆς χήρας (1), ἣν ὡς ἠδικημένην παρά τινων συνίστησί σου παρ' ἡμῖν ἡ σύνεσις, κεκρίκαμεν, κωλύσαντες αὐτὴν καὶ τοῦ ἀδικεῖσθαι, καὶ τοῦ ἀδικεῖν. Ἠδίκησε γὰρ οὐ μετρίως τοῦ τε ἀνδρὸς παραβᾶσα τὴν διαθήκην καὶ τοῦ υἱοῦ, οὐκ αὐτῇ ἀλλὰ τῷ μοναστηρίῳ τὴν κληρονομίαν καταλειψάντων· τὰς δὲ διαθήκας ἀμφοτέρας κρατεῖν παρὰ πᾶσι τό τε δίκαιον καὶ ὁ νόμος ἀπαιτεῖ. Ἔρρωσο ἐν Κυρίῳ.

Ἐπιστολὴ σκγ'.

Νικηφόρῳ ἱερομονάχῳ.

Ῥοπήν τινα ἐπὶ τὰ βέλτιστα κοὐ τὴν τυχοῦσαν ῥοπὴν ἐσχηκέναι τὰ καθ' ὑμᾶς ταῖς ἡμετέραις ὑποθήκαις καὶ παραινέσεσι μηνύεις. Ἥσθην ἐγώ· ἀλλὰ πῶς οἴει; ψυχῆς ἐκ μέσης. Τουτουὶ γὰρ χάριν καὶ παρ' ὑμᾶς διαπόντιοι φοιτήσαντες μετὰ τὰς εἰς Θρᾴκην καὶ τὴν βασιλεύουσαν ἀποδημίας τε καὶ διατριβὰς τὰς πολυάθλους ἐκείνας καὶ ὑπερφυεῖς, λόγοις *εὐκαίροις τε* καὶ (κατὰ Παῦλον εἰπεῖν) (2) *ἀκαίροις* τὴν Ἐκκλησίαν τοῦ Θεοῦ παρεκαλέσαμεν. Καὶ τί γὰρ ἄλλο ἐλπίζειν εἰκός, πυρὸς βληθέντος εἰς καρδίας εἰς τὸ εἰλικρινέστατον χριστιανιζούσας, οἵας τὰς ἐν Πάτμῳ ἔστιν ἰδεῖν; Ἐγὼ δ' ἤδη καὶ

(1) Ὁ λόγος περὶ τῆς χήρας Νικολάου Σαραχήνη τοῦ οἰκιστοῦ τῆς Σάμου, κληροδοτήσαντος τῇ μονῇ ἅπασαν τὴν αὐτοῦ περιουσίαν, ἐν ᾗ ἦν καὶ τὸ κατὰ τὸ Ἡραῖον (Κολώναν) τῆς εἰρημένης νήσου μετόχιον.

(2) Β' Τίτ, δ', 2.

αὖθις ἐπιδημῆσαι (εἰ νεύσοι Θεὸς) ἑτοίμως ἔχω, καὶ τὸ βεβλημένον πῦρ γανύμενος θεᾶσθαι (ἴσως: *θεάσασθαι*) ὡς ἤδη ἀνήφθη. Σὺ δὲ, σοφώτατε υἱὲ καὶ πεφιλημένε, ταῖς τῆς Ἐκκλησίας ἀναβάσεσι χαῖρε ὡς ἰδίοις ἀγαθοῖς, τῶν παρακατατεθειμένων σοι νέων τῇ παιδείᾳ ὑπεραγρυπνῶν. Τυχόν τινα, ἐξ ὧν παρακατέχομεν ἢ παρακατατιθέμεθα, Κύριος Σαβαὼθ ἐξαναστήσοι πάλιν, καὶ εἰ μὴ εἰς κτίσιν, ἀλλά γε εἰς ἀνάκτησιν τῆς ἑαυτοῦ Ἐκκλησίας, Βεσελεήλ. Ἔρρωσο. ͵αρϟζ΄.

Τὰς δὲ ἐφεξῆς τέσσαρας ἐπιστολὰς μοὶ μετέδωκεν ὁ ἐλλόγιμος φίλος μου κ. Ἰωάννης Σακκελίων μετὰ καὶ τῶν συνημμένων σημειώσεων αὐτοῦ, περὶ ὧν πραγματεύεται ἡ ἑξῆς ἐπιστολὴ αὐτοῦ.

Ἱεροθέῳ τῷ φιλτάτῳ μοι.

Εἰς συμπλήρωσιν τῶν Περὶ Νικηφόρου Χαρτοφύλακος τοῦ Κρητὸς βιογραφικῶν ἀποσημειώσεων, ἃς φιλοπόνως ἔχεις συνερανισάμενος, μεταδίδωμί σοι κἀγὼ τεσσάρων ἄλλων ἐπιστολῶν τὰ ἀντίγραφα. Τούτων ἡ μὲν Α΄ εὕρηται ἐν ᾗ ἐκεκτήμην ποτὲ χειρογράφῳ Συλλογῇ ἑκατὸν δέκα καὶ ἑπτὰ ἐν συνόλῳ ἐπιστολῶν τοῦ σοφωτάτου Μαξίμου Μαργουνίου ἐπισκόπου Κυθήρων, ἣν καὶ προςήνεγκα ἐν ἔτει 1847 τῇ ἐν Ἀθήναις Δημοσίᾳ βιβλιοθήκῃ διὰ τοῦ βιβλιοφύλακος Γ. Ἀποστολίδου Κοσμητοῦ· ἡ δὲ Β΄ περιέχεται ἐν σελ. 756 τοῦ ἐμοῦ χειρογράφου τεύχους, ὅπερ, ὡς οἶδας, πρὸς ταῖς αὐτογράφοις ἐπιστολαῖς καὶ τοῖς ἐπιγράμμασι Μελετίου ἐκείνου τοῦ Πηγᾶ, περιέχει καὶ ἄλλων τινῶν λογίων ἀνδρῶν σπουδάσματα καὶ ἐπιστολάς. Ἔστι δὲ ἡ ἐπιστολὴ τοῦ γνωστοῦ ἐκκλησιαστικοῦ διδασκάλου Μαξίμου τοῦ Πελοποννησίου πρός τινα Κωνσταντῖνον τοῦ ἡμετέρου Νικηφόρου μαθητήν, ἐν ᾗ ποιεῖται εὔφημον αὐτοῦ μνείαν. Ἡ Γ΄, ἀτυχῶς ἀτελής, ἐστὶν αὐτοῦ τούτου τοῦ Νικηφόρου πρὸς Κωνσταντῖνον τὸν μέγαν δομέστικον καὶ Μιχαῆλον τὸν πρωτοκανόναρχον, δῆλον ὅτι τῆς Μ. Ἐκκλησίας· κεῖται δὲ ἐν σελ. 680 τοῦ αὐτοῦ χειρογράφου. Ἀμφότεροι δ᾿ οὗτοι ἦσαν, ὡς εἰκάζω, ἐκ τῶν τοῦ Νικηφόρου μαθητῶν. Ἐν γὰρ σελ. 929-30 τοῦ αὐτοῦ χειρογράφου μου εὕρηνται δύο ἀνάξια λόγου ἐπιγράμματα, τὸ μὲν ὀκτάστιχον ἐπιγραφόμενον : ***Εἰς τὸν ἡμέτερον διδάσκαλον*** · οὗ ἡ ἀρχή :

Εἰ μαθέειν ἐθέλεις ἔνδον τίς γ', ὦ ξένε, ναίει,
Ἔστι γε Νικαφόρος δ' ἔξοχος ἐν σοφίῃ.

τὸ δὲ δεκάστιχον ἀρχόμενον:

Χαῖρε φαάντερον ἠελίου φάος ἱερώτατόν τε,
Ξυμπάντων μερόπων ὀλβιόδαιμον ἄνερ.

Ταῦτα δ' εἰσὶ Δομεστίκου τινὸς στιχουργία, ὡς ἐξ ἄλλου προτεταγμένου αὐτῶν τετραστίχου συμπεραίνεται, οὗ ὁ πρῶτος στίχος περιέχει τὸ ὄνομα αὐτοῦ. Ἔστι δὲ πιθανῶς ὁ αὐτὸς καὶ ὁ Κωνσταντῖνος, ἅτερος δηλαδὴ τῶν πρὸς οὓς ἐπιγέγραπται ἡ Γ' ἐπιστολή, ὥςπερ καὶ ἡ πρὸ αὐτῆς τοῦ Μαξίμου. Ὁ δὲ πρωτοκανόναρχος Μιχαὴλ ἐστὶν ἴσως ὁ τὸ ἐπώνυμον Κράλης, μαθητὴς καὶ οὗτος τυγχάνων τοῦ Νικηφόρου, ὡς δηλοῦται ἐκ τῆς ὑπὸ τὸ στοιχ. Γ ἐπιστολῆς τῶν Ἀποσημειώσεών σου. Τελευταῖον δὲ, τὴν Δ' ἐπιστολὴν μετείληφα ἐκ τῶν Ἰωάννου Λαμίου: *Gabrielis Severi et alior. Graecor. recencior. Epistolae. Florent. 1754.*, σελ. 95. Δυςτυχῶς ὅμως τὴν ἔκδοσιν ταύτην ῥυπαίνει φορυτὸς ὅλος σφαλμάτων καὶ διαστροφῶν. Ἔρρωσό μοι.

Ἐν Πάτμῳ 17 Μαΐου 1878.

Ὁ σὸς Ι. Σ.

Α'.

Νικηφόρῳ τῷ σοφωτάτῳ Μάξιμος.

Τὰ δίκαια συμμάχων χρήζει, ἵνα τοῦθ' ὅπερ ἐστὶν, αὐτὰ καθ' αὑτὰ καὶ ἄλλοις ὄντα φαίνηται. Σὺ δ', ὦ σοφώτατε, καὶ πρὸς τοῦτο πέφυκας ἅμα καὶ προαιρῇ, φιλοσοφίαν ἐπαγγελλόμενος. Εἰ δὲ οὐ τοῦτο, τυχὸν παρακινδυνεύει φιλοσοφία τοῦ δικαίου ἀποτυγχάνουσα, ἢ ἐν ἑαυτῇ, ἢ καὶ ἐν οἷς σπινθήρ τις οἰκεῖος ἐντεθεώρηται, κατὰ τοῦτο καὶ μᾶλλον καὶ ἔξω φιλόσοφος φάνηθι, ὁποιαοῦν δεινὰ πασχούσῃ, συνηγορῆσαι καὶ προσνεῖμαι ταύτῃ τὰ δίκαια. Οὕτω γὰρ τῷ ὄντι φιλοσοφήσεις τὰ ἄριστα, καὶ μὴ κατὰ τὴν κρατοῦσαν τῶν χυδαιοτέρων, τό γε νῦν εἶναι, ὑπόληψιν, φιλοσοφίαν ἡγούμενος τῷ ἄλλως ἢ γράφομεν πρὸς ταύτην διατεθεῖσθαι, ὅ, μὴ γένοιτο, ἀποτρόπαιον. Οἶσθα πάντως πρὸς ὅ μοι τὰ τοῦ λόγου οὕτω συνύφανται (1). Ἔρρωσο,

(1) Ὑπαινίττεται, νομίζω, τὴν κατ' αὐτοῦ τυρευθεῖσαν τότε συκοφαντίαν ὡς ἑτεροδοξοῦντος καὶ τὰ Λατίνων δῆθεν φρονοῦντος, ἣν σφόδρα ὑπέβαλλεν ὁ Φιλαδελφείας (τῶν

ἱερῶν ἀνδρῶν πανοσιώτατέ μοι καὶ σοφώτατε. Ἐνετίηθεν Βοηδρομιῶνος ζ' ἱσταμένου, κατὰ τὸ αφὴ' ἔτος τῆς ἐνσάρκου οἰκονομίας τοῦ Σωτῆρος ἡμῶν καὶ Θεοῦ.

B'.

Μάξιμος Κωνσταντίνῳ.

Ξένον τῷ ὄντι μοι ἐφάνη καὶ πέραν θαύματος τὸ λεχθέν σοι, αἰτοῦντι μέντοι γε μὴ τοῦθ' οὕτω φανῆναι. Ἀλλὰ πῶς οὐ ξενισθείη τις, καὶ δὴ καὶ θαυμάσειε, νεκροῦ ἀκούων φθεγγομένου καὶ φιλοσοφοῦντος κρεῖττον ἢ κατὰ φιλοσόφους; Πῶς δ' οὐχὶ παράδοξον τουτὶ πᾶσι τοῖς εὖ φρονοῦσιν εἴη ἄν, παραπλήσιον ὂν ἐκείνῳ τῷ θαύματι, τῷ κατὰ τῆς χήρας τὸν υἱὸν τὸν ἐκκομιζόμενον ἔξω τῆς πόλεως (1); Πλὴν ἀλλ' οἶδ' ἔγωγε ποίαν δὴ τὴν νεκρότητα φὴς εἶναι παρὰ σοί. Καὶ γὰρ νεκροτήτων τρόποι πολλοί· ὁ τοῦ σώματος, καθ' ὃν ζῇ τις νεκρὸς ὤν, οἷός ἐστιν Ἀβραάμ· ὁ τῆς ψυχῆς, κατὰ τό: «*Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς*» (2)· ἄλλος ὁ διὰ τῆς φιλοσοφίας γινόμενος, κατὰ τὸν λέγοντα: «*Φιλοσοφία ἐστὶ μελέτη θανάτου*» (3), καὶ κατὰ τό: «*Νεκρώσατε τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, καὶ τὰ ἑξῆς*» (4)· ἕτερος δ' αὖ τρόπος νεκρώσεως ὁ διὰ τοῦ βαπτίσματος, περὶ οὗ εἴρηται τό: «*Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταύρωται*» (5) εἴτουν νενέκρωται. Τοσούτων δὴ ὄντων τρόπων νεκρώσεως, οὐχ' ἕτερόν τινα εἶναι ὑπολαμβάνω τὸν ἐν σοί, ἢ τὸν ἐκ φιλοσοφίας

ἐν Ἐνετίᾳ ὀρθοδόξων) μητροπολίτης Γαβριὴλ Σεβῆρος ἐχθρικῶς πρὸς τὸν ἄνδρα διακείμενος. Δῆλον δὲ τοῦτο: α') ἐκ τῶν πρὸς τὸν τότε πατριαρχοῦντα Ἱερεμίαν τὸν Β' ἀπολογητικῶν αὐτοῦ ἐπιστολῶν, ἔνθα συντετριμμένῃ τῇ καρδίᾳ ἅμα δὲ καὶ σοφῶς ἀνασκευάζει τὰ τῆς συκοφαντίας· καὶ β') ἐκ τῶν πρὸς ἀμφοτέρους τοὺς διαφερομένους τούτους ἐπιστολῶν τοῦ Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ, πρὸς διαλλαγὴν προτρεπτικῶν, αἵτινες εὕρηνται ἐν τῷ αὐτῷ χειρογράφῳ μου κἀν τῷ ΤΛϚ' τῆς μοναστηριακῆς βιβλιοθήκης [Ἴδε καὶ τὰς παρὰ τοῦ φίλου Κ. Σάθα ἐν τῷ *Βιογραφικῷ Σχεδιάσματι περὶ Ἱερεμίου τοῦ Β'* ἐκδοθείσας ἐπιστολὰς τοῦ Μαργουνίου πρὸς τὸν Ἱερεμίαν τοῦτον, σελ. 98-135 καὶ 192.].

(1) Λουκ. ζ', 11 ἐφ.

(2) Ματθ. η', 22.

(3) Ἴδε Πλάτ. Φαίδ. §. ιϛ'.

(4) Κολοσ. γ', 5.

(5) Ῥωμ. ϛ', 6.

ἐγγεγονότα, *νεκρώσαντι*, κατὰ Παῦλον, *τὰ ἐπὶ γῆς μέλη*. Ταύτην δὴ *τὴν νέκρωσιν ἐν τῷ σώματί σου περιφέρων* (1), λέγειν τολμᾷς κατὰ Παῦλον (ἄνθρωπος γὰρ κἀκεῖνος) μετὰ Παῦλον: « *Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ* » (2)· « *ζῶ δὲ οὐκέτι ἐγὼ* (καί τοι ζῶν ἦν ἡνίκα ταυτὶ ἔλεγε), *ζῇ δὲ ἐν ἐμοὶ Χριστός* » (3). Τοῦτον δὴ οὖν τὸν τρόπον νεκρὸς ὢν καὶ αὐτός, καλῶς σοι εἴρηται νεκρός εἰμι καὶ παρὰ πᾶσι τοῦτο λογίζομαι, ἀφ' οὗ ἐς Κωνσταντίνου ἧκα. Τῆς γὰρ φιλοσοφίας κατὰ Πάτμον πρὸς τοῦ σοφοῦ Νικηφόρου (παρ' ὃν καὶ αὖθις φοιτῆσαι βούλει) ἐμφορηθείς, κατ' ἐκείνην πάντως ζῆν ἔγνως ἐς Κωνσταντίνου παραγεγονώς, οὐ κατὰ τὰ ἔθη Κωνσταντινουπόλεως· ἀνθ' ὅτου καὶ λυπῇ, μὴ κατὰ βουλήν σοι τὰ πράγματα ἀπαιτοῦντα (ἴσ. *ἀπαντῶντα*) εὑρών. Τούτου δὴ χάριν καὶ αἰτεῖς διακαῶς παρὰ τῆς ἐμῆς ἐπιστολῆς τὸ κατηφὲς ἀποσκευασθῆναί σου τῆς ἱερᾶς ψυχῆς. Καὶ γὰρ οὐκ ἔστι (φῃς) τις μηχανή, δι' ἧς ἂν αὖθις ἀναζωπυρηθήσῃ, εἰ μὴ διὰ τῆς ἐμῆς ἐπιστολῆς τοῦτο πάθοις. Ἐμοὶ δὲ τὸ κατ' ἐμὲ σκοποῦντι καὶ νεκρὰ τὸ παράπαν τὰ πάνθ' εὑρίσκοντι, τό: « *Ἰατρὲ θεράπευσον σεαυτὸν* » (4) ἔπεισί μοι λέγειν. Ἴσθι δέ, ὡς (κατὰ τὸν λέγοντα) (5) « *Σώματος μὲν νόσον θεραπεύει τέχνη, ψυχῆς δ' ἀῤῥωστίαν ἰᾶται λόγος* ». Ἐπεὶ οὖν τὰ φάρμακα τοῦ συναμφοτέρου ἔγνως, σὸν ἂν εἴη προσφόρως τούτοις χρῆσθαι. « *Δίδου γὰρ* (φησι) (6) *σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται* ». Ἐν Αἰγύπτῳ. αχά.

Γ'.

Οὕτω τοίνυν καὶ ὁ Ῥωμανός, πρῶτον μὲν ὑφαρπάζει δολίῳ τῷ τρόπῳ τὴν τοῦ τέως πατριαρχοῦντος ἁπλοϊκοῦ Τρύφωνος παραίτησιν, τοῦ ἱεράρχου Καισαρείας Θεοφάνους, ὃν δὴ καὶ Χοιρινὸν ἐπεκάλουν (1) (ἀξίαν ὄντως καὶ πρέπουσαν αὐτῷ τὴν τοιαύτην εὔφημον προςωνυμίαν φέροντα), καθυπουργήσαντος τῷ πονηρῷ τοῦ βασιλέως βουλεύματι, ἵν' ἔχῃ οὕτω πρόςφορον τὴν εὐκαιρίαν τῆς τοῦ θρόνου χηρείας εἰς πλήρωσιν τοῦ οἰκείου ἐφετοῦ (2). Τῶν μέν τοι συνοδικῶν ἀρχιερέων ἰσχυρῶς ἐνισταμένων τῇ ἐκνόμῳ ἀναῤῥήσει παιδὸς μήπω τὸν ἴουλον ἐξανθήσαντος, ἀποτείνεται καὶ οὗτος πρὸς τὸν πάπαν τῆς Ῥώμης, καὶ διὰ γραμμάτων μὴ περισωθέντων ἄχρις ἡμῶν ἐκλιπαρεῖ τὴν δυτικὴν Ἐκκλησίαν ἐπιψηφίσασθαι ὡς ἔννομον οὖσαν τὴν τοῦ υἱοῦ αὐτοῦ χειροτονίαν, καὶ δόγματι κυρῶσαι ποντιφικῷ, τοῦθ' ὅπερ καὶ ἐγένετο διὰ τῶν ἐπὶ τούτῳ ἀποσταλέντων εἰς Κωνσταντινούπολιν τεσσάρων ἐπισκόπων, οἳ καὶ ὀνομαστὶ μνημονεύονται ἐν τῇ νῦν ἐκδιδομένῃ ἐπιστολῇ. Ἀλλ' ἀκούσωμεν τί περὶ τοῦ γεγονότος τούτου ἱστορεῖ ὁ τὴν συνέχειαν τῆς Θεοφάνους Χρονογραφίας ἀνωνύμως συγγράψας: «*Χειροτονεῖται δὲ πατριάρχης ὁ ῥηθεὶς τοῦ βα-*

(1) Κεδρην. σελ. 313.

(2) «Ὁ γοῦν Καισαρείας χαρίσασθαι τῷ βασιλεῖ προθυμούμενος, δόλῳ μέτεισι τὴν τοῦ πατριάρχου ἀφέλειαν, καὶ φίλου προσωπεῖον ἑαυτῷ περιθέμενος, τῷ πατριάρχῃ φησίν· *Ἡ μὲν κατὰ σοῦ τοῦ κρατοῦντος ἐπίθεσις σφοδρά, ἀλλ' ἐπιλείπουσιν αὐτῷ αἰτιάματα ὑπὸ καθαίρεσίν σε τιθέμενα, καὶ λοιπὸν εἰς τὸ μηδὲ ὅλως εἰδέναι σε γράμματα οἱ λέγοντες κατὰ σοῦ περιίστανται. Ἀλλὰ σπεῦσον καὶ ταύτου τοὺς μελετῶντας κατὰ σοῦ ἀποκρούσασθαι. Διαλύσεις δὲ τούτοις τὸ σπούδασμα, εἰ ἐπίπιον πολλῶν χάρτην λαβὼν τὸ ὄνομα ἐγχαράξεις τὸ σόν, καὶ τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα· καὶ τούτου ἀποκομισθέντος τῷ βασιλεῖ, οὐκέτι κατὰ σοῦ αἰτίαμα περιλέλειπται.* Ὁ μὲν οὖν συνεβούλευσε ταῦτα· ὁ δὲ ἐπείθετο, καὶ πολλῶν παρόντων ἀγράφῳ χάρτῃ ταῦτα ἐγγράφει· *Τρύφων ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.* Καὶ λαβὼν τὸν χάρτην ὁ Καισαρείας ἀπῄει ἐμφανίσων τοῦτον τῷ βασιλεῖ. Ἔγγραφον οὖν ἐν αὐτῷ παραίτησις ὡς ἐκ τοῦ πατριάρχου ἄνωθεν τῆς ὑπογραφῆς ἐξυφαίνεται, καὶ ὡς παραιτησάμενος τῆς Ἐκκλησίας ἀποβάλλεται, καὶ ὁ τοῦ βασιλέως υἱὸς πατριάρχης κεχειροτόνητο» [Ζωναρ. ΙϚ', ιθ'.—Κεδρην. ἔνθα ἀνωτ.].

σιλέως υἱὸς Θεοφύλακτος Φεβρουαρίῳ μηνὶ δευτέρᾳ ἰνδικτιῶνος ἕκτης (τουτέστι τῷ 933ῳ), *τοῦ πατρῴου φρονήματος ἐξερχόμενος* [γρ. ἴσως: *ἐξεχόμενος*], *ἀλλὰ καὶ τοῖς πρόσω παρεκτεινόμενος κατορθώμασι μετὰ καὶ τῆς προσούσης ἐλλογιμότητος, τοποτηρητῶν ἐκ Ῥώμης ἀνελθόντων καὶ τόμον συνοδικὸν ἐπιφερόμενος* (sic) *περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα· οἳ καὶ πατριαρχικῷ* [γραπτ. καὶ τῷ] *τοῦτον θρόνῳ ἐνίδρυσαν*» (1). Ἀλλὰ καὶ ὁ μακαριώτατος ἐξαιτεῖται ἀμοιβαίως παρὰ τοῦ Ῥωμανοῦ *ὅπως ἐνδείξηται ἐπιμέλειαν καὶ σπουδὴν εἰς ἐκδίκησιν τῆς ῥωμαϊκῆς Ἐκκλησίας*. Ὁ δὲ τοιοῦτος ὑπαινιγμός, ὃν ὁ βασιλεὺς ἀγνοεῖν προςποιεῖται, ἀναφέρεται πάντως εἰς τὴν πρὸς αὐτὴν ἐκχώρησιν τῶν ἐπὶ τῆς νεοφωτίστου Βουλγαρίας πνευματικῶν δικαιωμάτων τοῦ οἰκουμενικοῦ θρόνου. Ἤδη γὰρ ἀπὸ Νικολάου τοῦ Α΄ παπεύοντος (858 - 67) ἐπισπερχῶς ἐζήτει ἡ Ῥώμη ὑπαγαγεῖν τὸ βουλγαρικὸν ἅπαν ὑπὸ τὴν ἑαυτῆς δικαιοδοσίαν, ὡς ἐκ τῆς ἱστορίας διδασκόμεθα.

Πάπας δέ, πρὸς ὃν ὁ Ῥωμανὸς ἀπετάθη, ἦν τηνικαῦτα Ἰωάννης ΙΑ΄, υἱὸς Σεργίου τοῦ Γ΄, γεννηθεὶς αὐτῷ ἐκ τῆς Μαρούσως (Marozia) ἐπιβοήτου ἑταιρικοῦ γυναίου, μέγα ἐν τῇ παπικῇ αὐλῇ ἰσχύσαντος καὶ πολλὰ συνταράξαντος αὐτήν. Ἐπάπευσε δ' οὗτος ἀπὸ τῆς 3 Ἀπριλίου τοῦ 931ου ἄχρι τελευτῆς αὐτοῦ συμβάσης τῇ 3 Ἰανουαρίου τοῦ 936ου. Καὶ ὁ ἰησουΐτης δὲ Αὐγουστῖνος Ὀλδοΐνος, ὁ τὰς ... προςθήκας ἐν τοῖς *Ποντιφικοῖς* ἐκπονήσας, τὸν πάπαν τοῦτον ... παραχωρῆσαι τῷ Θεοφυλάκτῳ τὸ *πάλλιον* (*pallium*=ὠμοφό-

(1) Βιβλ. ς΄, λδ΄. Τ' αὐτὰ δ' αὐτολεξεί, πλὴν τῶν ἐπαίνων, λέγουσι καὶ Συμεὼν ὁ ...γιστρος σελ. 745, καὶ Γεώργιος ὁ Μοναχὸς σελ. 913, καὶ Γεώργιος ὁ Ἁμαρτωλὸς ... 840, καὶ Λέων ὁ Γραμματικὸς σελ. 506, εἰ μὴ ἀλλήλους ἀντιγράψαντες, πάντως ... ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς πηγῆς τὰ λεγόμενα ἀρυσάμενοι, δηλονότι τοῦ Ἀνωνύμου. ... ἐκ τούτου ἐπιτείνεταί μου ἔτι μᾶλλον ἡ εἰκασία, ὅτι τῆς συνεχείας ταύτης πα...έστι Θεόδωρος ὁ Δαφνοπάτης [ἴδε ὄπισθεν σελ. 39]· σιγῇ γάρ, οὐκ ἀπροσωπόληπτον ...οριογράφον ἐλεγχούσῃ, παρέρχεται τὴν ἐκ τῆς ἀθέσμου ἀναῤῥήσεως τοῦ μείρακος ...φυλάκτου ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου ἐπισυμβᾶσαν τῇ Ἐκκλησίᾳ διχοστασίαν, ...ζόμενος κροδήλως ἐκ τῆς πρὸς τοὺς περὶ τὸν Ῥωμανὸν συμπαθείας. Οὐ μὴν δ' ἀλλὰ ἐν τῇ πρὸς τὸν Ἡρακλείας Ἀναστάσιον ἑπομένῃ ἐπιστολῇ εὑρήσει ὁ ἀναγνώστης ...ους τοῦ δυςκλεοῦς πατριάρχου, ὃν δικαίως ψέγουσι καὶ μέμφονται ἄλλοι ἱστοριο...φοι, ὡς προϊὼν ὁ λόγος δηλώσει.

ριον), τουτέστιν ὅτι ἐπεκύρωσε τὴν ἐπὶ τοῦ οἰκουμενικοῦ θρόνου παράνομον ἀνάῤῥησιν αὐτοῦ (1).

Οὕτω λοιπὸν κατορθώσας ὁ Ῥωμανὸς τὸν τοῦ υἱοῦ αὐτοῦ ἐνθρονισμὸν *ἐμερμήριζε κατὰ φρένα* καὶ περὶ τῆς ἐν τῷ μέλλοντι ἑδραιώσεως αὐτοῦ ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου. Δεδιὼς γὰρ μή ποτε μετὰ τὴν τελευτὴν αὐτοῦ συμβῇ τι ἀντίξουν καὶ καθαιρεθῇ ὑπὸ τῶν ἐναντίων ὁ ἐκ τῆς πιέσεως τοῦ τῆς βασιλείας ὄγκου ἐπιβληθεὶς πατριάρχης, καὶ ἕτερον διὰ τῆς ἐπιστολῆς ταύτης ἐξαιτεῖται τόμον παρὰ τοῦ πάπα, προϋποτυπῶν αὐτῷ μάλιστα καὶ ὁποῖά τινα εἶναι δεῖ τὰ ἐπιτίμια, μὴ ἐξαιρῶν μηδ' αὐτὸν τὸν οἰκεῖον γαμβρὸν καὶ συμβασιλεύοντα Κωνσταντῖνον, ὅν δι' ὑποψίας εἶχεν, ὡς ἔοικεν· διὸ καὶ πρώτους τάττει τοὺς βασιλεῖς ἐν τῇ τῶν ἐπιτιμίων ὑποτυπώσει. Ἄδηλον μέν τοι εἴπερ ἐπένευσεν ὁ ἄκρος ποντίφηξ καὶ τῇ τοιαύτῃ τοῦ βασιλέως αἰτήσει· οὐδὲν γὰρ περὶ τούτου ἀπεμνημόνευσεν ἡμῖν ἡ ἱστορία.

Ὁποία δέ τις ὑπῆρξεν ἡ ἐπὶ εἴκοσι καὶ τρία ὅλα ἔτη παραταθεῖσα πατριαρχία τοῦ ἀποτροπαίου *βασιλοπούλου*, ἀκούσωμεν νῦν τὴν ἀδέκαστον ἱστορίαν. «*Ἔτει δὲ δωδεκάτῳ τῆς Κωνσταντίνου βασιλείας, τοῦ δὲ κόσμου ,ϛυξδ', μηνὶ Φεβρουαρίῳ κζ', ἰνδικτιῶνος ιδ', κατέλυσε τὸν βίον Θεοφύλακτος ὁ πατριάρχης, ἀρχιερατεύσας ἐπ' ἔτη κγ', ἡμέρας κε', ἑξκαίδεκα μὲν ἐτῶν ὢν ὅτε ἀκανονίστως τοὺς τῆς Ἐκκλησίας παρείληφεν οἴακας, ὑπὸ παιδαγωγοὺς (φεῦ μοι) ὁ ἀρχιερεὺς μέχρι τινὸς διατελέσας. Καὶ εἴθε γε διὰ παντὸς τοῦτο ἦν· ἐδόκει γὰρ εἶναι σεμνὸς καὶ μέτριος. Τῆς ἐντελεστέρας δὲ ἡλικίας ἀρξάμενος ἤδη, καὶ καθ' ἑαυτὸν βιοῦν ἐαθείς, οὐδὲν τῶν αἰσχίστων καὶ παντελῶς ἀπηγορευμένων πράττειν ἐνέλιπεν, ὠνίους προτιθεὶς τοὺς τῆς Ἐκκλησίας βαθμοὺς καὶ τὰς προβολὰς τῶν ἀρχιερέων, καὶ ἄλλα πράττων, ὅσα τοῖς ἀληθινοῖς ἀρχιερεῦσιν ἀπεικότα ἐτύγχανεν, ἱππομανῶν καὶ κυνηγεσίοις ἐνασχολούμενος, καὶ λοιπὰς ἀπρεπεῖς διαπραττόμενος πράξεις, ἃς κατὰ μέρος διεξιέναι σὺν τῷ*

(1) Ἴδε Alfonsi Ciaconii *Vitæ et Res gestæ Pontificor. Romanor.* etc. τόμ. Α'. σελ. 692 καὶ 704. Rom. 1677. — Πρβλ· καὶ Caes. Baronii *Annal. Ecclesiast.* τόμ. Ι', σελ 479, καὶ τὸ *Ἱστορ. καὶ κριτ. Δοκίμιον περὶ τῶν διχον. τῶν ἐν τῇ ἐκκλησ. τῆς Πολονίας* τὸ ὑπὸ τοῦ κλεινοῦ Εὐγεν. τοῦ Βουλγάρεως ἐκ τοῦ γαλλικοῦ ἀνωνύμως μεταγλωττισθὲν σελ. 56.

ἀπρεπεῖ καὶ ἀθέμιτον. Μιᾶς δὲ δίκαιον ἐπιμνησθῆναι εἰς ἔνδειξιν τῆς ἀπαιδεύτου γνώμης αὐτοῦ. Ἔρως αὐτὸν κατεῖχεν ἄσχετος τῆς τῶν ἵππων κτήσεως, καὶ λέγεται ὑπὲρ δισχιλίους πορίσασθαι, ὧν τῆς κομιδῆς διὰ παντὸς ἐφρόντιζεν, οὐ χόρτον αὐτοῖς παρατιθεὶς καὶ κριθάς, κώνων δὲ καρποὺς καὶ θάσια καὶ πιστάκια, ἔτι δὲ φοινίκων καὶ σταφίδων καὶ ἰσχάδων τὰ λιπαρώτερα, εὐωδεστάτῳ οἴνῳ μιγνύς, καὶ κρόκον καὶ κιννάμωμον καὶ βάλσαμον καὶ ἕτερα ἀρώματα τοῖς ῥηθεῖσι συμφύρων, ἑκάστῳ τῶν ἵππων παρετίθει βρῶσιν. Φασὶ δ' ὅτι λειτουργοῦντί ποτε αὐτῷ κατὰ τὴν μεγάλην τοῦ θείου Δείπνου πέμπτην ἡμέραν, καὶ τὰς εὐχὰς ἤδη τῶν μυστηρίων ἀναγινώσκοντι, ὁ τὴν ἐπιμέλειαν τῶν ἵππων ἐπιτετραμμένος διάκονος ἐπιστὰς εὐαγγέλιον τούτῳ κεκόμικεν, ὡς ἄρα τετοκυῖα εἴη ἡ ἐπισημοτάτη φορβάς, προσθεὶς καὶ τὸ ὄνομα. Ὁ δ' ὑπὸ περιχαρείας τὸ τῆς θείας λειτουργίας ὑπόλοιπον ὡς ἔτυχεν ἐκπληρώσας δρομαῖος ἀφικνεῖται πρὸς τὸ Κοσμίδιον, καὶ τὸν τεχθέντα πῶλον ἑωρακώς, καὶ τοῦ ἀλόγου θεάματος ἐμφορηθεὶς ὑπέστρεψεν εἰς τὴν μεγάλην Ἐκκλησίαν, τὴν τῶν ἁγίων Παθῶν τοῦ Σωτῆρος ἡμῶν καὶ Θεοῦ ἐκτελέσων ὑμνῳδίαν. Ἔργον ἐκείνου καὶ τὸ νῦν κρατοῦν ἔθος, ἐν ταῖς λαμπραῖς καὶ δημοτελέσιν ἑορταῖς ὑβρίζεσθαι τὸν Θεὸν καὶ τὰς τῶν ἁγίων μνήμας διὰ λυγισμάτων ἀπρεπῶν καὶ γελώτων καὶ παραφόρων κραυγῶν τελουμένων τῶν θείων ὕμνων, οὓς ἔδει μετὰ κατανύξεως καὶ συντριμμοῦ καρδίας ὑπὲρ τῆς ἑαυτῶν ἡμᾶς σωτηρίας προσφέρειν τῷ Θεῷ. Πλῆθος γὰρ συστησάμενος ἐπιρρήτων ἀνδρῶν, καὶ ἔξαρχον αὐτοῖς ἐπιστήσας Εὐθύμιόν τινα Κασνῆν λεγόμενον, ὃν αὐτὸς δομέστικον τῆς Ἐκκλησίας προὐβάλετο, καὶ τὰς σατανικὰς ὀρχήσεις καὶ τὰς ἀσήμους κραυγὰς καὶ τὰ ἐκ τριόδων καὶ χαμαιτυπείων ἠρανισμένα ᾄσματα τελεῖσθαι ἐδίδαξεν (1). Οὕτως δὲ βιοτεύων καταστρέφει τὸν βίον ἐν τῷ ἀτάκτως ἱππάζεσθαι, ἔν τινι τοίχει τῶν παραθαλασσίων θραυσθεὶς καὶ αἷμα ἀναγαγὼν διὰ τοῦ

(1) Τὸ πανάθεσμον τοῦτο ἔθος, χάρις τῇ τοιαύτῃ τοῦ ἐξώλους τούτου πατριάρχου ἐπινοίᾳ (οὐχ ὁρᾷς;), ἐπικρατεῖ καὶ καθ' ἡμᾶς ἔτι, καὶ μάλιστα ἐν ταῖς τοῦ Αἰγαίου νήσοις· Συναγειρόμενοι γὰρ οἱ πανηγυρισταὶ κατὰ τὰς μνήμας τῶν ἑορταζομένων ἁγίων, καὶ τῷ Βάκχῳ ἀφθόνως σπένδοντες κορυβαντιῶσι καὶ ὀργιάζουσιν ἐν τυμπάνοις καὶ αὐλοῖς, ἐν χορδαῖς καὶ ὀργάνοις, ὀρχούμενοί τε τὸν κόρδακα καὶ ἄσεμνα ᾄδοντες ᾄσματα· καὶ ταῦτα πράττουσι τῆς ἱερουργίας ἔνδον τοῦ ναοῦ τελουμένης.

ρᾶν (= τοπάρχην) Αἰγύπτου, πολέμιον ὄντα τοῦ βυζαντινοῦ κράτους, ὥςπερ δὴ καὶ τὸ μωαμεθανικὸν ἅπαν γένος. Τοῦτον οὖν ὁ κράτιστος βασιλεύς, ἐπαγγελίαις παροχῆς βαθμῶν καὶ περιβολαίων χρυσοπάστων, ἀργυρίου τε καὶ χρυσίου καὶ ἄλλων ἔτι δωρεῶν, οἷά τινα παῖδα πειρᾶται διαβουκολῆσαι καὶ ἑαυτῷ προςεταιρίσασθαι, τὸ Λυσάνδρου παροιμιῶδες ἐν ταύτῃ τῇ περιστάσει λεληθότως ἑαυτῷ προςαρμόζων: *Ὅπου γὰρ μὴ ἐφικνεῖται ἡ λεοντῆ, προςραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν.* Αἰγύπτου δὲ καὶ Συρίας τοπάρχης ἦν ἐν τοῖς τότε χρόνοις, κατὰ τὴν μαρτυρίαν τοῦ ἀρχαίου Ἄραβος συγγραφέως Ἀμπουλφέδα, ὁ Ἀλ-Ἀχσχὶδ Μωχαμέτης, ὅς φαίνεται ζῶν ἔτι τῷ 945ῳ (1). Οὗτός δ᾽ ἐστιν, ὡς εἰκάζομεν, ὁ αὐτὸς καὶ ὁ περὶ οὗ γίνεται λόγος ἐν τῇ *Συνεχείᾳ* τῆς Θεοφάνους *Χρονογραφίας*: «*Ὁ δὲ ἀμηρᾶς Αἰγύπτου τὴν μεγάλην νίκην τῶν Ῥωμαίων ἀκηκοὼς καὶ τὴν πολεμικὴν ναυμαχίαν καὶ ἧτταν τῶν ἀρνητῶν τοῦ Χριστοῦ* [τῶν ἐξ Ἀφρικῆς μωαμεθανῶν], *γράμμασιν αὐτίκα φιλικοῖς τὸ μάχιμον αὐτοῦ ἀποβάλλεται καὶ ὑπισχνεῖται εἰς ἑνότητα*». Ἐν τοῖς πρὸς αὐτὸν δ᾽ ἐπιστελλομένοις γράμμασι τοῦ αὐτοκράτορος προςηρτᾶτο καὶ ἡ συνήθης τοῖς βασιλεῦσι χρυσῆ σφραγίς, ὡς ἀπ᾽ αὐτοῦ τοῦ Πορφυρογεννήτου μανθάνομεν· οἷον: «*Εἰς τὸν ἀμηρᾶν Αἰγύπτου. Βοῦλλα χρυσῆ τετρασολδία. Τοῦ ἀποσταλέντος γράμματος ἐπὶ Κωνσταντίνου καὶ Ῥωμανοῦ τῶν Πορφυρογεννήτων ἔστησεν ἡ βοῦλλα ἑξάγια ιη᾽.* «*Κωνσταντῖνος καὶ Ῥωμανὸς ἐν Χριστῷ εὐσεβεῖς αὐτοκράτορες μεγάλοι ὑψηλοὶ αὔγουστοι βασιλεῖς Ῥωμαίων, πρὸς τὸν ἠγαπημένον ἡμῶν φίλον τὸν εὐγενέστατον ἀμηρᾶν Αἰγύπτου*» (2).

Σημειωτέον δ᾽ ἐν τέλει, ὅτι αἱ παροῦσαι ἐπιστολαὶ κεῖνται ἐν τῷ χειρογράφῳ πρότεραι τῶν πρὸς Συμεὼν τὸν ἄρχοντα Βουλγαρίας προλαβόντως ἐκδοθεισῶν.

---

(1) Ἴδε Κωνστ. τοῦ Πορφυρογεν. *Ἔκθ. τῆς βασιλ. τάξ.* Β᾽, μη᾽, σελ. 396 μετὰ τοῦ αὐτόθι ὑπομν. τοῦ Ἰω. Ἰακ. Ῥεισκίου. — Πρβλ. καὶ Muralt *Chronogr. Byzant.* σελ. 745.

(2) Ἔνθα ἀνωτ. σελ. 398.

Τῷ πάπᾳ Ῥώμης.

Τὸ γράμμα τῆς ὑμῶν ἀρχιερατικῆς δεξάμενοι μακαριότητος, καὶ τὴν ἐγκειμένην ἐν αὐτῷ κατανοήσαντες δύναμιν, διπλῇ κατεσχέθημεν ἡδονῇ· τοῦτο μέν, οἷς τὸν πνευματικὸν ἔρωτα, καὶ τὸ ἐγκάρδιον τῆς ἀγάπης πῦρ, καὶ τὸ πρὸς τὴν βασιλείαν ἡμῶν φιλόστοργον ἅμα καὶ φιλότεκνον συνεξύφαινε, καὶ οὐχὶ τοπικῷ διαστήματι τὰς ψυχικὰς συνελεύσεις συναπετείχιζε· τοῦτο δέ, οἷς οἱ παρ' ὑμῶν ἀποσταλέντες ὁσιώτατοι ἐπίσκοποι Μαδέλβερτός τε καὶ Λέων μετὰ Σεργίου καὶ Πέτρου, ἐξ αὐτῆς ὄψεως τὸ τῆς κρυπτῆς αὐτῶν ἀρετῆς παρίστων μαρτύριον. Ὡς γὰρ μόνον εἰς ὄψιν τῆς ἡμετέρας ἐπέστησαν βασιλείας, ἐπείπερ εἰς ἄκρον τὸν θεῖον χαρακτῆρα διαμεμόρφωντο, τῆς τε ὑμῶν πολυεράστου μακαριότητος τὴν θειότητα καθαρῶς ἐδήλουν, οἷα δὴ ἀκριβεῖς εἰκόνες κάλλους ἀρχετύπου, καὶ αὐτοὺς ἀξίους παρίστων οὕτως ἱερῷ καὶ θείῳ διακονοῦντες ἀνδρί.

Τούτων μετὰ τῆς τοσαύτης, ὡς ἔφημεν, ἀρετῆς καὶ τῶν ὑμετέρων πατρικῶν γραμμάτων πρὸς ἡμᾶς ἐπιφοιτησάντων, ἐπείπερ ἀποδοχὴν τὰ τοιαῦτα γράμματα ἐδήλου τοῦ ἡμετέρου τέκνου, καὶ τὴν εἰς τὸν ἀρχιερατικὸν θρόνον καθίδρυσιν, ἀλλὰ καὶ ὁ παρ' ὑμῶν ἀναπεμφθεὶς τόμος ἐκ πάσης τῆς τῶν Ῥωμαίων Ἐκκλησίας ὁμόφωνος κατὰ πάντα τοῖς τε παρ' ὑμῶν λεγομένοις καὶ γραφομένοις ἐφαίνετο, ὑμνοῦμεν, οὐκ ἔστιν εἰπεῖν ὅσην εὐχαριστίαν τῷ μεγάλῳ ἀρχιερεῖ καὶ Θεῷ ἀνεπέμψαμεν, ἐφ' οἷς οὕτω τὴν σὴν κατεύθυνε γνώμην, καλῶς τὰ τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἐκκλησίας οἰκονομῆσαι καὶ διαθέσθαι, ὅσην δὲ τὴν εὐγνωμοσύνην καὶ πίστιν πρὸς τὴν ὑμῶν ἐπηυξήσαμεν μακαριότητα· ἔδειξας γὰρ ὄντως ἀρχιερεῖ Θεοῦ πρέπουσαν γνώμην καὶ τῶν αὐτοῦ κορυφαίων μαθητῶν ἐπαξίαν, ἐφ' ὅσον δεῖ ἐπαγρυπνεῖν ὑπὲρ εὐσταθείας τῶν ἁγίων Ἐκκλησιῶν καὶ τοῦ καλῶς καὶ πνευματικῶς τὰ ἐν αὐταῖς θεοσύλλεκτα ποιμαίνεσθαι πρόβατα.

Μετὰ γοῦν τῆς πρεπούσης, ὡς ἔφημεν, τιμῆς καὶ τῆς ἄλλης ἀνεπιλόγου θεραπείας παρά τε τῆς ἡμετέρας βασιλείας καὶ παρὰ τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἐκκλησίας δεξιωθέντες, καὶ τὴν ὀφειλομένην αἰδῶ καὶ τιμὴν τῇ σῇ μακαριότητι, εἴ γε παρῆν, τούτοις προςαπονείμαντες, ἐπείπερ τινὲς τοῦ καθ' ἡμᾶς ἱερατικοῦ καταλόγου πρὸς τὴν τοῦ τέ-

κνου ἡμῶν ἀπεδυςπέτουν χειροτονίαν, καὶ διασπᾶν τὴν ὁλότητα τοῦ ἐκκλησιαστικοῦ σώματος ἐπειρῶντο, θείᾳ προνοίᾳ καὶ ταῖς ὑμετέραις ἁγίαις εὐχαῖς πάντων ὁμοφωνησάντων καὶ εἰς τὸ αὐτὸ συνεληλυθότων, πρὸ δὲ πάντων καὶ τοῦ ὑμετέρου πνεύματος κατὰ τὸν μακάριον Παῦλον συμπαρόντος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ (1), τοῦτον τῷ ἀρχιερατικῷ κατεκόσμησαν ἀξιώματι, καὶ πατριάρχην τῆς καθ' ἡμᾶς ἀνηγόρευσαν Ἐκκλησίας. Καὶ μή τις ψόγος παρὰ τῆς ὑμῶν μακαριότητος τοῖς [τῇ] (2) ἐπὶ τοῦ τέκνου ἡμῶν ἐπὶ μικρὸν ἀντιπεσοῦσι χειροτονίᾳ ἐπενεχθῇ· ἐπεὶ μηδ' ἀλογίστως ἢ ἀπερισκέπτως, ὥς γέ φασι, τοῦτο πεποιηκέναι αὐτούς· πρῶτα μὲν μὴ δεῖ (3) τηλικούτῳ καὶ ὑπερφυεῖ πράγματι ἀβασανίστως προσέρχεσθαι, ὅπου γε μηδ' ἐπὶ μικροῖς πράγμασι τοῦτο συγχωροῦμεν πολλάκις, ἀλλὰ τοσοῦτον ἀσπάσασθαι τὴν διάστασιν καὶ τὸ ἀκοινώνητον, ὅσον γνωρίσαι καὶ συνδιασκέψασθαι τὸ ἐπὶ τῇ τοῦ τέκνου ἡμῶν χειροτονίᾳ συμβησόμενον ἀγαθόν, καὶ μήτε τὴν ἔνστασιν πέρα τοῦ δικαίου καὶ πρέποντος παρεκτεῖναι, μήτε πάλιν ἐν καιρῷ συμφωνίας καὶ συνελεύσεως μόνους τῶν ἄλλων ἀπολειφθῆναι· ἔπειτα δέ, καὶ τὸ μὴ τῶν ἰδίων ἐκπεσεῖν προνομίων καὶ ἄλλοις τὰ τῆς ἑαυτῶν ἱερατείας ἐπιτρέπειν, ἐξὸν αὐτοῖς καὶ δίχα Ῥωμαίων ἐπισκόπων τὰ τῆς Κωνσταντινουπολιτῶν Ἐκκλησίας πρὸς τὸ δοκοῦν τοῖς θείοις νόμοις διατιθέναι καὶ διοικεῖν. Καινοτομίας γὰρ ἀναφυομένης περὶ τὴν ὀρθόδοξον ἡμῶν πίστιν, τηνικαῦτα δέον τοὺς ἀπὸ Ῥώμης καὶ τῶν λοιπῶν θρόνων προσκαλεῖσθαι ἱερεῖς, ὡς ταύτῃ βοηθήσοντας καὶ χεῖρα ὀρέξοντας· ἐπὶ δὲ ἀναρρήσει ἀρχιερέως τῆς Κωνσταντινουπολιτῶν Ἐκκλησίας, οὐδείς πω τῶν πάλαι μέχρι τοῦ νῦν ὤφθη ἐπ' αὐτῷ τούτῳ ἀπὸ Ῥώμης προςκαλεσάμενος ἐπισκόπους, πλὴν εἰ μή, διὰ φιλίας ὅρον καὶ ἀγάπης νόμον πνευματικόν, ἔστιν ὅτε προςκληθῆναι αὐτοὺς συγχαρησομένους καὶ συνευφρανθησομένους ἡμῖν.

Ταύταις, ὡς ἔφημεν, οὐκ ἐπὶ πολὺ ταῖς ἀντιλογίαις ἐμφιλοχωρήσαντες, ὥςτε μὴ δοκεῖν ἀπερίσκεπτοι ἐπὶ τηλικούτῳ ἀναφαίνεσθαι πράγματι, τέλος καὶ αὐτοὶ τοῖς λοιποῖς συμφωνήσαντες, τὸν υἱὸν ἡμῶν ἐπὶ τὸν ἀρχιερατικὸν ἀνεβίβασαν θρόνον· ἐφ' οἷς ἡδονῆς ἐνθέου

(1) Α', Κορινθ. ε', 4.
(2) Προςέθηκα τὸ προδήλως ἐκπεσὸν ἄρθρον.
(3) Γραπτ. ἴσως: *Δεῖν*.

καὶ ἀγαλλιάσεως πληρωθέντες, τὸ πᾶν ἐπὶ τῇ σῇ εὐχῇ καὶ σπουδῇ ἀνατιθέμεθα, τὸ οὕτως σεαυτὸν διὰ τὴν ἡμῶν ἀγάπην ἐπιδεδωκότα καὶ μετὰ τοσαύτης θερμότητος τὰς ἡμετέρας αἰτήσεις πληρώσαντα. Καὶ νῦν ἰδού, Θεοῦ χάριτι, πάντες εἰσὶν ἐν μιᾷ καρδίᾳ καὶ φρονήματι ἑνὶ ἡνωμένοι, ὑπὸ νέῳ ἀρχιερεῖ καὶ ποιμένι ἐπιστατούμενοί τε καὶ κυβερνώμενοι, κἂν οὐκ ἔστι τις παρ᾽ ἡμῖν, ὁ μὲν εἰς Κηφᾶν, ὁ δὲ εἰς Παῦλον (1), ὁ δὲ εἰς τὸν δεῖνα ἢ τὸν δεῖνα ἑαυτοὺς ἀποτέμνοντες, ἀλλ᾽ εἰσὶ πάντες τῆς φαύλης ταύτης τομῆς ἐλεύθεροι, ὑπὸ μιᾷ κεφαλῇ καὶ ἑνὶ προστάτῃ καταρτιζόμενοι· καὶ βαθεῖά τις εἰρήνη καὶ γαλήνη τὴν καθ᾽ ἡμᾶς Ἐκκλησίαν ἄρτι κατέχει, ὀρθοτομοῦσαν καὶ πάντα φυλάττουσαν ἀπαράτρωτα, ὅσα τοῖς ἱεροῖς πατράσι νενομοθέτηται. Καί σοι, πατέρων ἐρασμιώτατε καὶ ἀρχιερέων σεβασμιώτατε, μεγάλην ὅτι τὴν χάριν ὁ σὸς υἱὸς καὶ βασιλεὺς ὁμολογῶ, καὶ διὰ τὸν ὑπερβάλλοντα μὲν πρὸς ἡμᾶς τε καὶ τὸ τέκνον ἡμῶν πόθον, καὶ ἣν ἐπεδείξω σπουδήν τε καὶ γνώμην πρὸς τὴν ἐκείνου ἀρχιερατικὴν ἀνάρρησιν, πλέον δὲ ὑπὲρ τῆς κοινῆς χριστιανῶν εὐταξίας τε καὶ ὁμοφροσύνης, ἧς ἀπολαύει τὰ μέλη, τῆς κεφαλῆς ἀταράχως διατελούσης.

Ἐπεὶ δὲ οἱ εὐλαβέστατοι ὑμῶν ἐπίσκοποι, ἅμα τῶν καθ᾽ ἡμᾶς ἁγιωτάτων μητροπολιτῶν(2), καλῶς τὰ τῆς τοῦ τέκνου ἡμῶν χειροτονίας διῳκονόμησαν, καὶ τὸ δοθὲν αὐτοῖς ἔργον ἐτελείωσαν, καὶ οὐδένα ἔξωθεν τῶν ἐκκλησιαστικῶν ἀγκαλῶν καὶ π[εριβ]όλ[ων ;] περιπλανᾶσθαι εἴασαν, ἀλλ᾽ ὑφ᾽ ἕνα ποιμένα καὶ μίαν ποίμνην τὰ τοῦ Χριστοῦ κατήρτισαν θρέμματα, ἐπέστη δὲ καιρός, καθ᾽ ὃν ἔδει αὐτοὺς πρὸς τὴν ὑμετέραν ἐπαναλῦσαι μακαριότητα, τούτους πάλιν μετὰ τῆς ἁρμοίας τιμῆς καὶ φιλοφρονήσεως πρὸς ὑμᾶς ἐξεπέμψαμεν· οἷς οὐδαμῶς ἐγκληθῆναι δίκαιον περὶ τῆς ἐνταῦθα βραδυτῆτος, ἥτις, ὡς οἴομαι, καὶ τιμιωτέρα τῆς ἑτέρων ταχυτῆτος καθέστηκεν· οὐ γὰρ ἐκ προαιρέσεως καὶ οἴκοθεν, ἀλλὰ παρὰ τῆς ἡμετέρας βασιλείας καὶ μένοντες κατείχοντο, μέχρις ἂν τὰ διὰ μέσου σκῶλά τε καὶ προσκόμματα τῶν ἀντιπιπτόντων διέλυσαν. Αἱ γὰρ μέγισται (3) τῶν διοικήσεων, καὶ μάλιστα τῶν ἐκκλησιαστικῶν, μεγάλων δέονται καὶ τῶν

(1) Α΄, Κορινθ. α΄, 12.
(2) Συνήθης τοῖς Βυζαντινοῖς ἡ μετὰ γενικῆς σύνταξις τοῦ ἀθροιστικοῦ τούτου μορίου.
(3) Τὸ χειρόγρ.: *Μέγιστοι*.

καιρῶν πρὸς τὴν δέουσαν καὶ ὀφειλομένην ἀποπεράτωσιν. Οἶδας δὲ καὶ αὐτός, ὡς οὐχ ἡ τυχοῦσα τοῖς ἐκκλησιαστικοῖς διοικήμασιν ἀκρίβεια συμπαρομαρτεῖ (1)· καὶ δεῖ τὸν τούτοις ἐπιστατοῦντα, μὴ ἐν καιροῦ βραχείᾳ ῥοπῇ μετάγειν ταῦτα πρὸς τὸ λυσιτελές, εἴ γε μὴ προσπταίειν ἐθέλοι καὶ εἰς αὐτὸ τὸ κεφάλαιον ζημιοῦσθαι.

Συνεξεπέμψαμεν δὲ μετ' αὐτῶν καὶ ἀποκρισιαρίους ἡμῶν, ἀπὸ μὲν τῆς ἱερᾶς ἡμῶν συγκλήτου Ἀναστάσιον πρωτοσπαθάριον καὶ ἀσηκρῆτις, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἡμῶν Ἐκκλησίας Ὀρέστην κληρικὸν καὶ πρωτονοτάριον τοῦ κατὰ πνεῦμα μὲν πατρός, κατὰ σάρκα δὲ υἱοῦ ἡμῶν καὶ πατριάρχου, ἄνδρας εὐλαβείᾳ καὶ λογιότητι διαπρέποντας καὶ διὰ τῶν ἔργων τὰ λόγων ἐπιβεβαιοῦντας· οἵ γε τῇ σῇ ἱερότητι ἐμφανιζόμενοι, τὰ περὶ τὸ τέκνον ἡμῶν οἰκονομηθέντα καὶ πραχθέντα τρανότερον ἀναγγελοῦσι, καὶ οἵαν πρὸς σὲ στοργὴν καὶ διάπυρον σχέσιν κέκτηται γνωριοῦσι, καὶ πᾶν εἴ τι παρ' ὑμῖν ἀμφισβητήσιμον, λόγοις ἀληθέσι διαλύσωσί τε καὶ κατευνάσωσι, καὶ μίαν Ἐκκλησίαν τὰς τέως διεστηκυίας διὰ τοῦ τὰ αὐτὰ φρονεῖν ἀποδείξωσιν· οὓς καὶ μετὰ τῆς ἁρμοζούσης τιμῆς ἡ ὑμετέρα δεξιουμένη μακαριότης, καὶ τὰ παρὰ τῆς βασιλείας ἡμῶν αὐτοῖς διὰ στόματος ὁρισθέντα ἀκουσάτω, καὶ τέλος ἀξιόλογον ἐπιθεῖναι οἷς ἐνήρξατο σπουδασάτω. Ἐπεὶ δὲ ἔστι τι καὶ λεῖπον ἐν τοῖς παρὰ σοῦ πονηθεῖσιν, ὃ προστιθέμενον τὸν ἡμῶν ἐπαυξήσει ἔπαινον, ἀξιοῦμεν μετὰ τῶν ἄλλων, καὶ ἱκέται τῆς ὑμῶν ἀρχιερατικῆς τελειότητος καθιστάμεθα, καὶ ταύτην εἰς πέρας ἄξαι τὴν δέησιν.

Πολλὰ τῶν πραγμάτων εἰς τὸ μετὰ ταῦτα ἀλλοιοῦται καὶ μετατρέπεται, οὐκ ἐξ οἰκείας μεταποιούμενα φύσεως, ἀλλ' ἐκ τῆς τῶν πολλῶν κακίας μετατρεπόμενα. Ἵνα οὖν μὴ καὶ μετὰ τὴν ἡμῶν ἀποβίωσιν, θρασείᾳ γλώσσῃ κατὰ τῆς τοῦ ἡμετέρου τέκνου χειροτονίας οὐκ εὐλόγους τινὲς ἐγκλήσεις προσεπαφήσουσιν, ἕνεκά γε τούτου ὁ σὸς υἱὸς καὶ βασιλεὺς τὴν παροῦσαν ἀξίωσιν πεποίημαι πρὸς σὲ τὸν ἐμὸν τιμιώτατον καὶ πνευματικὸν ἡμῶν πατέρα, ὅπως ἐπισυναθροίσας πάντας τοὺς τῆς ἁγίας τῶν Ῥωμαίων Ἐκκλησίας ἱερεῖς, ἀπό τε τῶν ὑπερεχόντων καὶ ἕως ἐσχάτου ἱερατικοῦ τάγματος, ἐπ' ὄψεσι τῶν ἡμετέρων ἀποκρισιαρίων, στόματι μὲν πρότερον καθομολογήσωσι καὶ ἀποδέξωνται τὴν τοῦ τέκνου ἡμῶν χειροτονίαν, καὶ δικαίαν καὶ ἀναμ-

(1) Ὡσαύτ.: *Συνπαρωμαρτεῖ.*

φισβήτητον ταύτην ἀποφανοῦνται· εἶθ' οὕτως γενέσθω τόμος παρ' ὑμῶν, εἰς ὃν ὑποσημήνηται ἡ ὑμετέρα μακαριότης δι' ἐγγράφου ἰδιοχείρου, καὶ καθεξῆς πάντες οἱ ὑπὸ ταύτην ἀρχιερεῖς τε καὶ ἱερεῖς, ἀποδεχόμενοι ἐγγράφως καὶ ἐπικυροῦντες τὴν τοῦ τέκνου ἡμῶν χειροτονίαν. Ἐν δὲ τῷ τέλει τοῦ τόμου προςκείσθω καὶ ταῦτα ὡς ἐκ φωνῆς πάντων ὑμῶν, οὕτως: *Εἴ τις οὐκ ἀποδέχεται, οὐδὲ δικαίαν καὶ εὔλογον καθομολογεῖ τὴν τοῦ κυροῦ Θεοφυλάκτου τοῦ πατριάρχου Κωνσταντινουπόλεως χειροτονίαν, ἀλλὰ διαβάλλειν καὶ ὑπὸ μέμψιν ταύτην τιθέναι πειρᾶται, ἀπό τε βασιλέων, συγκλητικῶν ἀρχόντων, ἱερατικῶν ἀνδρῶν, καὶ μέχρις αὐτῶν τῶν ἐσχάτων καὶ τελευταίων, ὁ τοιοῦτος ὑποκείσθω τῷ δεσμῷ τοῦ παναγίου καὶ ζωαρχικοῦ Πνεύματος καὶ τῶν κορυφαίων καὶ μακαρίων Ἀποστόλων, καὶ τῷ αἰωνίῳ ἀναθέματι παραπεμπέσθω.*

Ταῦτα μὲν ὅσον πρὸς ὑπόμνησιν ἐγράψαμεν· αὐτὸς δέ, πατέρων ἀρχιερατικώτατε, καὶ τούτων πλείονα συστατικώτερα τῆς τοῦ τέκνου ἡμῶν χειροτονίας προςθήσεις τῷ τόμῳ, ἐπαναγνωσθῇ τε εἰς ἐπήκοον πάντων, καὶ διὰ τῆς ὑμετέρας σφραγῖδος βεβαιωθῇ, καὶ τοῖς ἀποκρισιαρίοις ἡμῶν ἐπιδοθῇ τοῦ ἀποκομίσαι πρὸς τὴν βασιλείαν ἡμῶν, ὥστε ἀποτεθῆναι αὐτὸν ἐν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ Ἐκκλησίᾳ, εἰς τὸ δι' αὐτοῦ ἀποπαύεσθαι καὶ ἐπιστομίζεσθαι τοὺς κατὰ τῆς χειροτονίας τοῦ ἡμετέρου τέκνου κατεπαιρομένους. Τοῦτό μοι τὸ ἐπιθύμημα παρὰ τῆς σῆς μακαριότητος τελειωθήτω. Δός μοι ἐν τούτῳ καλλωπίζεσθαι καὶ σεμνολογεῖσθαι, καὶ ἐπὶ τῷ σῷ πατρικῷ φίλτρῳ καὶ τῇ πνευματικῇ φιλοτεκνίᾳ τοὺς πάντας εἰς θαῦμα διεγείρειν καὶ ἔκπληξιν. Οὐκ ἀναξίαν γὰρ ἐπιδειξόμεθα τὴν εὐγνωμοσύνην πρὸς σέ, οὐδ' ἀχαριστίᾳ τὴν εὐεργεσίαν προδώσομεν, ἀλλ' ἐπὶ τῶν ἔργων αὐτῶν καὶ ἐπὶ τῆς ἀληθείας μάθοις ἄν, ὡς πάντων τῶν πώποτε γενομένων πατέρων οἱ βασιλεῖς ἐκτήσαντο παῖδας (1), πολλῷ εὐγνωμονέστερον καὶ εὐνοϊκώτερον σὺ κέκτησαι παῖδα.

Ἐξητήσω τὴν ἐκ Θεοῦ βασιλείαν ἡμῶν, πατέρων σεβασμιώτατε, δείξασθαι ἡμᾶς ἐπιμέλειαν καὶ σπουδὴν εἰς ἐκδίκησιν τῆς τῶν Ῥωμαίων ἁγίας Ἐκκλησίας, καὶ οὐκ ἀνανεύομεν περὶ τὴν ἐξαίτησιν· οὐ γὰρ τῶν ἀχαρίστων ἐσμὲν καὶ ἀγνωμόνων· μᾶλλον μὲν οὖν καὶ διὰ γραμμάτων μηνυθῆναι ἡμῖν βουλόμεθα τὰ τῆς αἰτήσεως, ὡς ἂν προ-

1) Οὐκ ἐῤῥῶσθαι δοκεῖ τὸ χωρίον κολόβωσιν ἴσως παθόν.

θύμῳ γνώμῃ καὶ προθέσει ταύτην εἰς πέρας ἀγάγωμεν· οὐδὲ γὰρ οἷόν τε, τὸν πατέρα τὰ τοῦ παιδὸς αἰτήματα ἐκπληρώσαντα, μὴ κατὰ πάντα καὶ τοῦτον εὑρεῖν ὑπήκοον, ἐν οἷς ἀπαραίτητοι κατεπείγουσιν ἀνάγκαι.

Προσέκειτο ἐν τῷ γράμματι καὶ περὶ τῆς πολλαχῶς λαληθείσης συμπενθερίας, τοῦ τελείως αὐτὴν ἀποπληρωθῆναι· καὶ τοῦτο ἡμῖν ἐπιθυμητὸν καὶ ἐράσμιον, ὃν εἰς πατέρα πνευματικὸν ἡ τοῦ Πνεύματος διεπλάσατο χάρις, τοῦτον ἡμῖν καὶ διὰ τῆς σωματικῆς ἐπιγαμίας καὶ ἀγχιστείας συνηρμόσθαι. Ἀλλ' ἐπειδὴ καὶ τὸ τῆς ὁδοῦ μῆκος πολύ, καὶ ἡ τῆς βασιλείας μεγαλειότης οὐ μικρὰν ἐλάττωσιν ὑποστήσεται, εἰ τὸν υἱὸν ἡμῶν πρὸς τὰ αὐτόθι ἐξαποστελοῦμεν· καὶ πάλιν, τὴν μέλλουσαν αὐτῷ νυμφευθῆναι, ἐπιβαρὲς ὑμῖν καταφανήσεται ἀπὸ Ῥώμης πρὸς τὴν βασιλεύουσαν ἐκπέμψαι, εἰ μὲν προαιρεῖται ἡ ἐνδοξοτάτη ὑμῶν μήτηρ τὰ τῆς τοιαύτης οἰκονομῆς καὶ συμπενθερίας, ἀναλαβέτω μᾶλλον αὐτὴ ἐκείνη τὴν ἑαυτῆς θυγατέρα, καὶ διὰ τῶν κατεληλυθότων ἀρτίως χελανδίων (1) μετὰ τῶν ἐπισκόπων, ἀνελθέτω πρὸς τὴν ἐκ Θεοῦ βασιλείαν ἡμῶν, ὡς ἂν καὶ τῶν ἐξ ἡμῶν ἀπολαύσασα πλουσιωτάτων δωρεῶν καὶ φιλοφρονήσεων, καὶ τὰ τῆς συμπενθερίας εὖ διαθεμένη καὶ ἀποπερατώσασα, οἴκαδε μεθ' ὑπερβαλλούσης τιμῆς ὑποστρέψοι. Εἰ δὲ τοῦτο οὐ βούλεται, παραδότω τὸ ταύτης παιδίον τισὶ τῶν οἰκείων αὐτῆς καὶ πιστοτάτων ἀνθρώπων, καὶ μετὰ τῶν αὐτῶν χελανδίων ἐκπεμψάτω πρὸς τὴν βασιλείαν ἡμῶν. Εἰ δὲ τὸ παρὸν οὐ συγχωρεῖται τοῦτο ποιῆσαι, διὰ τὸ τοῦ καιροῦ κατεπεῖγον καὶ σύντομον, καὶ μετὰ ταῦτα διὰ γραμμάτων αὐτῆς ἡ ἁγιωσύνη ὑμῶν τὰ περὶ τούτου γνωρίσει τῇ βασιλείᾳ ἡμῶν, καὶ ἀποστελοῦμεν χελάνδια πλείονα εἰς τὸ ἀναλαβέσθαι τὸ παιδίον μετὰ πιστῶν ὑμῶν ἀνθρώπων, καὶ ἀναγαγεῖν πρὸς τὴν βασιλείαν ἡμῶν, καί, Θεοῦ θέλοντος, ἐπιτελεσθῶσι τὰ τοῦ συναλλάγματος.

---

(1) Εἶδος πλοίων βασιλικῶν πρὸς ταχυπλοΐαν ἐπιτηδείων.

Ἀναστασίῳ μητροπολίτῃ Ἡρακλείας δυςανασχετοῦντι ἐπὶ τῇ χειροτονίᾳ τοῦ κυροῦ Θεοφυλάκτου τοῦ υἱοῦ Ῥωμανοῦ βασιλέως τοῦ γέροντος.

Γράμμα τῆς ὑμῶν πανιέρου ὁσιότητος δεξάμενοι, καὶ πάν[τα] τὰ ν αὐτῷ ἐμφερόμενα ἐνώπιον τοῦ βασιλέως [ἡμ]ῶν τοῦ ἁγίου ὑπαναγνόντες, οὐ μικρῶς ἐλυπήθη[μεν πρὸς;] τὰ τῆς ὑμῶν ὁσιότητος, ὡς τοιαῦτα γραψάσης. Ἔδει σε καὶ γὰρ πρότερον ὀρθῷ λογισμῷ κρίνειν τὰ πράγματα, ἀποσκοπῆσαί τε καὶ πρὸς τὰ οἰκεῖα, καὶ οὕτως τὰς καθ' ἑτέρων ἀποφάσεις ποιεῖσθαι, οὐχ ὡς μηδενὶ ἐγκλήματι ὑποκείμενος, ἀλλ' ὡς καὶ αὐτὸς ἄνθρωπος ὢν ἀνθρωπίνοις περιειλημμένος πταίσμασιν. Εἰ γάρ, ὡς αὐτὸς φῄς, τῷ ἱερῷ κανόνι ἐξακολουθῶν, κανονικῶς πάντα βούλει γίνεσθαι εἰς τὸν υἱὸν τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου, πᾶν δόγμα καὶ κανόνα ἐπὶ τοῦτον συγκινῶν, καὶ μηδὲν ἔξω τῆς τούτων διαταγῆς διαπραττόμενος, πῶς αὐτός, ἐν μέρει μέν, ἐκεῖν δὲ καὶ καθόλου, πρὸς παράβασιν τῶν ἱερῶν ἀποκλίνεις κανόνων, ἐν μέρει δὲ ἢ καὶ μηδόλως φαίνῃ τούτων προκινδυνεύων; Τοῦ ἄρ κανόνος τὴν τετραγαμίαν ἀποκήρυκτον ἡγουμένου, ἐξόν σοι ταύτην μὴ παραδέξασθαι, ἀλλὰ συγκινδυνεύειν τοῖς ἐξ ἐκείνου καὶ μέχρι τοῦ νῦν τῆς Ἐκκλησίας ἀπεῤῥηγμένοις, καὶ πανταχόθεν ἄληπτον ἑαυτὸν συντηρεῖν, ἀλλὰ μὴ τὸν τυχόντα μόχθον καὶ ἀγῶνα καταβάλλεσθαι ἐπὶ τῇ τῆς τετραγαμίας ἀποδοχῇ ἐν τῷ καιρῷ τῆς ἑνώσεως (1).

(1) Πολλὰ τῇ Ἐκκλησίᾳ προὐξένησε σκάνδαλα καὶ σχίσματα ἡ ὑπὸ Λέοντος τοῦ Σοφοῦ παρανομηθεῖσα τετραγαμία μετὰ Ζωῆς τῆς Καρβωνοψίνης. Ὁ γὰρ πατριάρχης Νικόλαος ὁ Μυστικὸς καὶ οἱ μητροπολῖται, τοῦ τῶν ἱερῶν κανόνων κύρους ὑπερμαχοῦντες ὥρισαν μὲν τῆς Ἐκκλησίας τὸν βασιλέα, ἀλλ' ἡ γνώμη αὐτῶν ἐδιχάσθη, τῶν μὲν ...γομένων τὸν τοῦ ἀφορισμοῦ συντεμεῖν χρόνον καὶ μὴ ἐπὶ πολὺ παρατείνειν (ἐξ ὧν ὡς ἔοικε, καὶ ὁ Ἡρακλείας οὗτος!), τῶν δὲ τῇ τοιαύτῃ συγκαταβάσει μὴ στεργόν... Καὶ λοιπὸν ἐξορίζεται μὲν ὁ πατριάρχης ὡς ἀνενδότως ἔχων πρὸς τὰς περὶ ἀφέσεως δεήσεις τοῦ βασιλέως, ἐνθρονίζεται δὲ ὁ τούτου πνευματικὸς πατὴρ Εὐθύμιος καὶ ἀφορισμοῦ αὐτὸν λύει· ἀλλ' οὐχ ἧττον διετέλουν οἱ ἀρχιερεῖς ἀπεῤῥηγμένοι ὄντες ἀλλήλων καὶ διχοστατοῦντες. Ὅθεν Κωνσταντῖνος ὁ τοῦ Λέοντος υἱὸς καὶ τῆς βασιλείας κληρονόμος, συγκαλέσας τῷ 921 σύμπαντας τοὺς ἀρχιερεῖς πείθει αὐτοὺς εἰς μίαν ...ειν γνώμην καὶ ὁμόνοιαν, ὅτε δὴ καὶ ὁ καλούμενος *Τόμος τῆς ἑνώσεως* ὑπ' αὐτῶν ...ετέθη· δι' οὗ ἐδόθη μὲν τῷ πατρὶ αὐτοῦ καὶ μετὰ θάνατον ἡ τῆς παρανομίας ἄφεσις, ...ηφίσθη δὲ κοινῇ γνώμῃ καὶ κρίσει ἀπόβλητον τοὐντεῦθεν εἶναι παντελῶς τὸν τέταρτον γάμον καὶ ἀποκήρυκτον καὶ τῆς χριστιανικῆς πολιτείας ἀλλότριον [Ὅρα Σπυρίδ. ... *Συνόδ. Συλλογ.* τόμ. Β', σελ. 975].

Τότε γὰρ ἦν σοι πρέπον τὰς ἐνστάσεις ποιεῖσθαι, τὰς ἀναβολὰς, καὶ τὰς ἐπιπλάστους ἀναχωρήσεις· ἐπεὶ δὲ ταύτην ὤφθης καταδεξάμενος, οὐκ ἔστι σοι πάροδος ἐγκαυχᾶσθαι ὡς φύλακι τοῦ ἱεροῦ κανόνος· ὁ γὰρ ἐν μέρει τοῦτον παραβὰς, πάντα παραβέβηκε τὸν κανόνα, εἴπερ ἐκ τῶν μερῶν τὸ ὅλον συνέστηκε, καὶ ἀδύνατον, μέρους ὑπεξῃρημένου, τὴν ὁλότητα διασώζεσθαι.

Ἀλλὰ καὶ ἕτερόν τι τῶν ὑπὸ σοῦ ἀνατρεπομένων, παρὰ σοῦ δὲ γεγονός, εἰς ἔλεγχον παραστήσομαι. Ἀπέτρεπε γάρ σ[ε τὸ] γράμμα μὴ προβαίνειν ἐπὶ χειροτονίας τοὺς ὀκτωκαιδεκαέτεις καὶ εἰκοστοὺς τυγχάνοντας· καὶ πῶς (1) ὁ ἱερώτατος ἡμῶν δεσπότης τοῦτο συνειδὼς, ἀκούσας τὸν κῦριν Τρύφωνα τὸν πατριάρχην δωδεκαέτη μὲν χειροτονηθέντα διάκονον, πεντεκαιδεκαέτη δὲ πρεσβύτερον, καίπερ τινῶν ἐκ τῶν μητροπολιτῶν ἀποδυςπετούντων ἐπὶ τῇ τούτου χειροτονίᾳ, αὐτὸς ἠνέσχου ὑπ' ἐκείνου χ[ειρο]τονηθῆναι, καὶ ἃ νῦν ἀνατρέπεις καταδέξασθαι τηνικαῦτα· ἢ δῆλον, ὡς ἐπεὶ πρὸς τοιούτους λογισμοὺς ἔμελλες ἀποτρέχειν, δικαίως τοῖς σεαυτοῦ δικτύοις ἡ θεία περιέσχε σε πρόνοια, ἵνα, ἅπερ ὤφθης πρότερον καταδεχόμενος, ἀρ[τί]ως δὲ ἀθετῶν καὶ ἀπαρνούμενος, μὴ πιστεύῃ . . . ά τις ἔφθασεν ἐπικυρῶσαι καὶ ἀποδέξα[σθαι], μή τι γε ἱερεύς, ἀλλ' εἰ καί τις τύχῃ τῶν κοσμικῶν. Ἔπειτα δὲ ταῦτα ἀνατρέπων καὶ ἀθετῶν ὁ τοιοῦτος, κατά γε [ἐμέ;], οὐκ ἄξιος τοῦ ἀκούεσθαι, εἴπερ λόγος ἐστὶν ὁ τιμῶν ἡμᾶς καὶ ἀπὸ [ἀλ]όγων διαχωρίζων.

Διατί δέ σοι, δέσποτα, καὶ πρὸς κώλυμα τοῦ χειροτονηθῆν[αι] τὸν θεο[φι]λέστατον σύγκελλον ἡ ἀνηλικιότης π[αρ]ίσταται; προκρίνεις μεγέθη καὶ ὄ[γκου]ς, καὶ τὴν σωματικὴν αὔξησιν τῆς ψυχικῆς προτιμᾷς, καὶ ταῖς ὁρωμέναις παχύτησιν ὑποχωρεῖν δίδως τὰ νοητά; ἐξοίχεται (2) δέ σοι θεάρεστος τρόπος, καὶ τάξις ἐπαινετὴ, καὶ ἦθος σεβάσμιον, καὶ καθαρῶν πράξεων τελειότης ἐν ἀτελεῖ διαλάμποντα σώματι; Καὶ λοιπὸν προκρινέσθω σοι καὶ ὁ Γολιὰθ τοῦ Δαυὶδ, ὅτι ὁ μὲν μέγας καὶ ὑπερμεγέθης καὶ φοβερὸς εἰς ἀπάντησιν, ὁ δὲ μικρός τε καὶ ταπεινός, καὶ διὰ τοῦτο οὐκ ἀπόδεκτος τῷ Θεῷ· καὶ οἱ ἐν τῇ Παλαιᾷ γίγαντες τῶν τότε διαλ[αμψά]ντων δικαίων ἀνδρῶν, καὶ ὁ Φαραὼ τοῦ Μωϋσέως, ὅτι ὁ μὲν μικρὸς καὶ βραδύγλωσσος, ὁ δὲ μέ-

(1) Γρ. ἴσως: *Καὶ πως*.
(2) Τὸ χειρόγρ.: *Ἐξ οἴχεται*.

ας καὶ δυνάστης· εἰ βούλει δὲ προτιμάσθω καὶ ὁ Ναβουχοδονόσορ
ῦ Δανιήλ· οἵτινες καὶ ἐν ἀτελεῖ σώματι ὄντες, ἐπεὶ πρὸς τὴν τῆς
ιανοίας αὐτῶν τελειότητα καὶ καθαρότητα, καὶ οὐχὶ πρὸς [τὴν] σω-
ατικὴν ἀτέλειαν ἀ[πέ]βλεπεν ὁ Θεός, καὶ ἀποκαλύψεων ἠξιώθησαν,
ὶ προφητείας ἔλαβον χάρισμα. Ἀλλὰ τί φήσ[ει]ς, πανίερε δέσποτα;
ι φιλονεικήσεις ὄγκοις καὶ σταθμοῖς σωματικοῖς [τ]ὴν ἱερωσύνην
ίζειν, καὶ οὐχὶ τρόπων ἁγνότητι καὶ πράξεων καθαρ[ότητι] τὸ σε-
ίσμιον αὐτῆς διαγράφεσθαι; Καὶ λοι[πὸν] ο[ὐδ]ὲ τοὺς ἐν ἡλικίᾳ νη-
ώδει μαρτυρήσαν[τας] ὑπ[ὲρ] Χριστοῦ προςδέξῃ, ὅτι μὴ ἀπηρτι-
ιένην εἶχον τὴν σωματικὴν διάπλασιν; Χριστὸς δὲ καὶ εἰς τὸ ἄνω
σιαστήριον αὐτοῦ προςεδέξατο. Τί δέ σοι δοκεῖ καὶ Ἐλευθέριος ὁ
γας ἱερομάρτυς, ἐν ἀτελεῖ τῇ ἡλικίᾳ χειροτονηθείς; ἆρα καὶ τοῦ-
ν ἐξώσεις τοῦ τῶν ἁγίων χοροῦ; [Καὶ ὁ;] ἐν τῇ καθ' ἡμᾶς γενεᾷ
ρις Στέφανος πατριάρχης, ἐννεακαιδεκαέτης χειροτονηθείς, ἆρά γε
οδεχθήσεται παρὰ σοί, ἢ ἀπαγορευθήσεται; Ἀλλ' οὐ νικήσει τὴν
ν πολλῶν ἐπὶ καλῷ συμφωνίαν ἡ τοῦ ἑνὸς ἐναντιουμένη γνώμη, καὶ
πρὸς διασπασμὸν καὶ διαίρεσιν τῆς τοῦ Θεοῦ συσκευάζουσα Ἐκ-
ησίας. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ἱερώτατε δέσποτα, σὲ μὲν ἐξ
λείων λόγων τὴν οἰκείαν ἔνστασιν κατοχυροῦντα δικαιοῦν ἑαυτόν,
ς δὲ θεοφιλεστάτους μητροπολίτας [ἔρ]γοις αὐτοῖς, τοῖς παρὰ
ν σεβασμίων πατριαρχῶν τε καὶ μητροπολιτῶν γεγενημένοις, τὰ
ὸτα καὶ διανοουμένους καὶ λέγοντας παραβλέπεσθαι· οὐδ' ἐπὶ το-
ύτ]ῳ φρονήσει καὶ εὐλαβείᾳ διαλάμποντες τῆς ἑαυτῶν ἠλόγησαν
τηρίας, ὡς μηδένα γενέσθαι τοῦ [π]ροςήκον[το]ς λογισμοῦ, ἀλλὰ
εὐθείας παρατρ[απῆ]ναι καὶ τὴν ἐναντίαν ἑλέσθαι. Ἰδοὺ γὰρ
των ἁ[παξαπλῶ]ς τῶν μητροπο[λι]τῶν [εἰ]ςεληλυ[θότω[ν καὶ;] τὰ
τοῦ θεοφιλεστάτου συγκέλλου συμψηφισαμένων, οὐ [μὲν] κανο-
ῶς], οὐ δὲ οἰκον[ομι]κ[ῶς], ὁμοφώνως τὴν τούτου [ἀν]ηγόρευσαν
ροτονί]αν, ἵνα τῇ μὲν ἑορτῇ τῆς Ὑψώσεως χειροτονηθῇ πρεσβύτε-
ἐν δὲ ταῖς ἁγίαις ἑορταῖς ἢ τῷ ἁγίῳ Πάσχα πα[τριά]ρχης. Εἰ
ί τινες ἐξ αὐτῶν πρὸς τ[ὸν ἐν]νεακαιδέκατον ἀμφιβάλλουσ[ι χρό-
τοῦ εἰκοστοῦ ἐνισταμένου ἀναμφιβόλως χειροτονήσωσιν α[ὐτόν].
ν (1) καὶ αὐτός, ὦ ἱερώτατε δέσποτα, ὑπείκεις [τῇ] τοιαύτῃ
[τῶν] μητροπολιτῶν καὶ ἀποδέχῃ τὴν τούτων ὁμοφωνίαν,

(1) Ἴσως ἐγέγραπτο: *Εἰ μὲν οὖν*.

καταλιπὼν τὰς ἀνισχύρους προφάσεις εἴςελθε καὶ προςκολλήθητι τῷ λοιπῷ σώματι τῆς Ἐκκλησίας, καὶ γενοῦ τῆς τούτων θέας καὶ συμπνοίας καὶ ὁμοφροσύνης, ὅτι μὴ ἄνευ Θεοῦ τὰ τοιαῦτα ἐπὶ νοῦν παραγίνεται. Εἰ δὲ ἐπὶ τῇ αὐτῇ ἐπιμένεις ἐνστάσει καὶ ἀπειθείᾳ, οὔτε ἄλλοτε γράψομέν σοι περὶ τούτου, οὔτε καταναγκάσομεν, ἀλλὰ τοῦ [ὡρισ]μένου καιροῦ τῆς χειροτονίας καταλαμβάνοντος, ἢ καὶ ἄκων, συμφωνήσεις τοῖς μητροπολίταις, ἢ ἐξεω[σθή]σῃ (1) [τῆς] μητροπόλεως.

Ἡμεῖς μὲν ο[ὖν τὴν] ὀφειλομένην εὔνοιαν τοιούτῳ πατρὶ [ἀποδεικνύν[τες, κατὰ] τὴν τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου [πρόσταξιν; ἐγράψαμέν σοι]· αὐτὸς δὲ τὸ δοκοῦν σ[οι ποί]ησο[ν]. Περὶ δὲ οὗ ἔγραψας, τοῦ με . . . . ῆσαι . . . . . τερον τὸν βασιλέα ἡμῶν τὸν ἅγι[ον, καὶ] μὴ φέρειν ὁρᾶν κατῃσχυμμένην τὴν τοῦ Θεοῦ Ἐκκλησίαν, ὥςπερ ὁ ἁγιώτατος ἡμῶν δεσπότης, οὐ . . . . . τὰ τῆς σεαυτοῦ γνώμης ἀνατρ[απῆν]αι, καίπερ εἰς τυγχάνων, οὕτως οὐδὲ τὴν αὐτῶν βουλὴν καὶ ψῆφον οἱ μητροπολῖται ἀθετῆσαι, μάλιστα τοῦ ἁγιωτάτου πάπα τὰ αὐτὰ [καὶ] ἐπιψηφισαμένου καὶ ἐπικυρώσαντος, τοῦ τε βασιλέως ἡμῶν τοῦ ἁγίου διαφόρως λαλήσαντος αὐτοῖς γενέσθαι πατριάρχην ἕτερον, οὐκ ἠνέσχοντο. Ἀλλ' ἐπεὶ καὶ παρὰ τῶν προαποιχομένων ἀοιδίμων πατριαρχῶν, [καὶ] παρ' [αὐ]τῶν τῶν μητροπολιτῶν, πρῶτα μὲν εἰς τὸν πεντεκαιδεκαέτη χρόνον ἐψηφίσθη χειροτονηθῆναι ὁ σύγκελλος, ἔπειτα δὲ εἰς τὸν ὀκτωκαιδέκατον, ἀδύνατόν ἐστιν, βραχέος ὄντος τ[οῦ ἀνα]μεταξὺ χρονικοῦ διαστήματος, ἐπείςακτον πατριάρχην γενέσθαι. Διὰ οὖν τὸ ἀσύμφορον φαίνεσθαι αὐτοῖς τοῦ χειροτονηθῆναι ἕτερον, ἀνάξιον δὲ καὶ παρὰ κανόνα τὸ χηρεύειν τὴν Ἐκκλησίαν, εἵλοντο μᾶλλον εἴτε εἰς τὸν ἐννεακαιδέκατον χρόνον, εἴτε εἰς τὸν εἰκοστὸν χειροτονῆσαι τὸν θεοφιλέστατον σύγκελλον πατριάρχην. Καὶ δὲ τοῦτο μήτε αὐτὸς ἔχε κατὰ νοῦν, μήτε ἄλλος τις προςδοκάτω ὡς χειροτονηθήσεται ἕτερος πατριάρχης.

---

(1) Περὶ τοῦ ηὐξημένου ἀορίστου τῆς ἀπαρεμφάτου: *ἐξεῶσαι* σεσημείωταί μοι ἐν ταῖς προηγουμέναις ἐπιστολαῖς [τόμ. Α', σελ. 666]. Προςθετέον δὲ νῦν ἐνταῦθα, ὅτι αὐτὸ ἀπαντᾷ καὶ παρ' Ἐπιφανίῳ [*Κατὰ αἱρέσ.* Β', σελ. 726] καὶ τῷ ἀνωνύμως τὴν [illegible] χειαν τῆς Θεοφάνους *Χρονογραφίας* συγγεγραφότι [ς', κς'], ὅς ἐστι, κατά γε τὴν [illegible] εἰκασίαν, αὐτὸς οὗτος ὁ Δαφνοπάτης [ἴδε τοῦ παρόντος τόμου σελ. 39]. Ἀλλὰ καὶ [illegible] λων ηὐξημένος: *ἐξεώσεις* εὕρηται παρὰ τῷ Πτωχοπροδρόμῳ [*Κατὰ Ῥοδάνθ.* [illegible] *Δοσικλ.* σελ. 17]. Κατὰ λόγον ἄρα τούτου ἐσχημάτισται καὶ ὁ ἐνταῦθα παθητικός.

Προςφώνησις ῥηθεῖσα πρὸς τοὺς μητροπολίτας ἐκ προστάξεως τοῦ βασιλέως.

Καλὸν μὲν ἦν γε καὶ ὅσιον, ὦ θεοφιλεστάτη τῶν τοῦ Θεοῦ ἀρχιερέων ὁμήγυρις, μηδένα ποτὲ τοῦ ὀρθοῦ λόγου διαμαρτεῖν, μὴ ὅτι γε τῶν μεθ' ὑμῶν τατ[το]μένων, ἀλλ' οὐδὲ τῶν τῆς τελευταίας καὶ κάτω τάξεως, μηδὲ τὰ κοινῇ δόξαντα καὶ δι' ἐγγράφου ἀσφαλείας τὴν πεβαίωσιν δεξάμενα, πρὸς κατάλυσιν καὶ ἀνατροπὴν συνελαύνειν, ἵνα μὴ αὐτός τις ἑαυτῷ . . . . μενος, οὐδὲ τοῖς ἄλλοις εἰρήνης. . . . . . . , καὶ πρὸς τῷ εὐμεταβόλῳ τὸ καὶ ἄπιστον εἶναι κατακριθήσεται.

Τίνος ἕνεκεν ταῦτα προοιμιασάμην; ὅτι κατὰ διαφόρους καιροὺς ψηφισάμενοι τὸν υἱὸν ἡμῶν εἰς πατριάρχην, καὶ πρῶτα μὲν τῷ πεντεκαιδεκάτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας τὴν τῆς χει[ροτον]ίας προθεσμίαν ἀπογραψάμενοι, εἶτα τῷ ὀκτωκαιδεκάτῳ, μετὰ δὲ ταῦτα καὶ ἐννεακαιδεκάτῳ, εἰς ὃν καὶ χειροτονηθῆναι πρεσβύτερον, εἶθ' οὕτως καὶ πατριάρχην ἀπεφήνασθε, ἐνόν, ὡς πολλάκις τοῦτο παρ' ὑμῶν πολυπραγμονηθὲν καὶ κατὰ γνώμην τελειωθέν, τετελέσθαι καὶ πράγματι, τοῦτο οὐ γέγονεν· τὸ μὲν ὅθεν καὶ ὅπως, οὐκ ἐμὸν λέγειν, ἀλλ' ὑμῖν παραχωρητέον εἰδέναι· πλὴν ὅτι ἀναβολαί τινες καὶ ὑπερθέσεις μέσον ὑμῶν ἐπισκήψασαι, καὶ τὴν ἐπὶ τῇ χειροτονίᾳ τοῦ τέκνου ἡμῶν συμφωνίαν καταλυμηνάμεναι, τίνας ὑμᾶς ἀνθ' οἵων εἰργάσαντο οὐκ ἔχω λέγειν.

Τοιγαροῦν διασκεψαμένη ἡ βασιλεία ἡμῶν τὸ ὑμῶν ἄλλοσε ἄλλως ὂν περὶ τὰ δόξαντα καὶ μηδαμοῦ στῆναι δυνάμενον, ἅμα δὲ κά[κεῖνο] λογισαμένη, ὡς μήπως ἀντιδιαστελλο[μένων] ὑμῶν καὶ ἀπορρηγνυμένων ἕνεκα τῆς τοῦ τέκνου ἡμῶν χειροτονίας, δια[κενῆς γένηται;] ἡμῖν ὁ πολὺς ἐκεῖνος ἱδρώς τε καὶ κάματος, ὃν ἐπὶ τῇ τοῦ ἐκκλησιαστικοῦ σώματος ἑνώσει ἀνεδεξάμεθα (1)· ταῦτα σκοπήσαντες καὶ μηδ' ἀνεκτὸν ἡγησάμενοι ἐπὶ τοσούτῳ ποιμένος τὴν ἱερὰν τοῦ Χριστοῦ ποίμνην στερίσκεσθαι, τὸν μὲν υἱὸν ἡμῶν τῆς τοιαύτης εἴργομεν χειροτονίας, ἵνα μὴ τοῖς οὐκ ὀρθῶς αἱρουμένοις βαδίζειν

(1) Ὑπαινίττεται ἐνταῦθα τὴν γενομένην ἕνωσιν τῶν ἕνεκα τῆς ἀθεμιτογαμίας τοῦ ...ντος ἀποσχισθέντων ἀπ' ἀλλήλων ἀρχιερέων, περὶ ἧς ἐσημειωσάμεθα ἀνωτέρω ἐν σ. 401.

σκάνδαλον ἢ καὶ πρόςκομμα παράσχωμεν, ἄλλον δὲ ἀντειςαχθῆναι πρὸς τὸν πατριαρχικὸν θρόνον (1) καὶ βούλομαι καὶ ὑμῖν συναινῶ. Καὶ τοῦτο οὐ δι' ὀργήν, οὐδ' ἀποτυχόντες τῆς ἐλπίδος ἡμῶν, καὶ διὰ τοῦτο ἐξ ἐνδιαθέτου ἀγανακτήσεως κινούμενοι· μὴ τοῦτό τις ὑπολάβοι περὶ ἡμῶν, ἀλλὰ καθαρῷ συνειδότι καὶ ἀπεριέργῳ διανοίᾳ καὶ προθυμίᾳ τὴν ἐμαυτοῦ προτίθημι βουλήν, καλῶς, ὡς ἐμὲ ὑπολαμβάνειν, ἔχουσαν καὶ τοῖς Ἐκκλησιαστικοῖς συμβαίνουσαν πράγμασιν, ὀψὲ ποτὲ τῶν προσωπείων καὶ τῶν πλασμάτων ἐληλεγμένων τῇ ἀληθείᾳ, ἵνα καὶ ὑμῖν τὰ τῆς ἀρετῆς ἄμωμα εἴη καὶ ἀνεπίφθονα, καὶ ἡ βασιλεία ἡμῶν δόξα, τῆς ἐκκλησιαστικῆς εὐσταθείας τετηρημένης, σεμνύνοιτό τε καὶ μεγαλύνοιτο.

Τῷ Ἀμηρᾷ τῆς Αἰγύπτου.

Ὁ ἀληθὴς καὶ τέλειος ἄνθρωπος, ἐν τούτῳ τῶν λοιπῶν διαφέρει ζῴων, ἐν τῷ μετὰ φρονήσεως καὶ τῆς πρεπούσης συνέσεως καλῶς τὰ ἐν τῷ βίῳ μετέρχεσθαι πράγματα· ὥς περ γὰρ ἡ σοφὴ καὶ φιλεργὸς μέλισσα ἐν ἄνθεσι παντοίοις περιϊπταμένη, τὰ μὲν απόβλητα τῶν ἀνθέων ἀποβάλλεται, τὰ δὲ χρήσιμα καὶ κάλλιστα πρὸς ἐργασίαν συλλέγει τοῦ μέλιτος, οὕτω δὴ καὶ ὁ ἀληθὴς καὶ φρόνιμος ἄνθρωπος πάντα τὰ ἐν τῷ βίῳ περισκοπῶν πράγματα διὰ τῆς οἰκείας φρονήσεως, τὰ μὲν ἀσύμφωνα καὶ ἀνάρμοστα οὐ προςίεται, τὰ δὲ συμφέροντα καὶ σωτήρια προςλαμβάνει. Συμφέρον δὲ καὶ σωτήριον πάντων τῶν ἐπὶ γῆς τί ἆρά ἐστιν ἀλλ' ἢ εἰρήνη καὶ ἀγάπη; Ὁ γὰρ Θεὸς εἰρήνη καὶ ἐστὶ καὶ λέγεται, καὶ τοὺς ὑπ' αὐτοῦ πεπλασμένους εἰρηνικῶς καὶ γαληνῶς βούλεται ζῆν, ἐπειδὴ ἡ μὲν εἰρήνη ζωοποιεῖ, ὁ δὲ πόλεμος ἀποκτείνει· καὶ ἡ μὲν εἰρήνη πληθύνει καὶ πλουτεῖ τοὺς ἀνθρώπους, ὁ δὲ πόλεμος ἐλαττοῖ καὶ πτωχεύει· χρυσὸν μὲν γὰρ πολλάκις καὶ πλοῦτον ὁ συνάγων, πρᾶγμα φθαρτὸν καὶ ἐπίκηρον, ταχέως ἀπόλλυσι τὸ κέρδος αὐτοῦ· ὁ δὲ εἰρήνην καὶ ἀγάπην ἐπιζητῶν, οὐ μόνον τὸ ὄφελος καὶ τὸν μισθὸν αἴδιον ἔχει, ἀλλὰ καὶ ἀείμνηστος καὶ ἀειμακάριστος καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις γίνεται· ἀεὶ γὰρ

(1) Τὸ χειρόγρ.: *Χρόνον*.

ὁ ἀγαθὸς ἄνθρωπος τὸ ἀγαθὸν ἐργάζεται, ὁ δὲ τὸ ἀγαθὸν ἐργαζόμενος, πρόδηλον ὅτι τὸν Θεὸν ἀγαπᾷ· ὁ δὲ τὸν Θεὸν ἀγαπῶν σπουδάζει τοῦ ἐξ ἔργων ἀποθεραπεύειν αὐτόν. Θεραπεύεται δὲ Θεὸς ὅταν τοὺς ἀνθρώπους, οὓς ἔπλασεν οἰκείᾳ χειρί, πρὸς εἰρήνην καὶ ἀγάπην ὁρᾷ αὐτοὺς ἐπισπεύδοντας· εἰρήνης γὰρ καὶ ἀγάπης ὢν Θεὸς καὶ βασιλεύς, οὐ θέλει τὸν θάνατον τῶν ἀνθρώπων, οὐδὲ μετ' ἔχθρας ζῆν αὐτούς, ἀλλὰ μετὰ σχέσεως καὶ ἀγαπητικῆς διαθέσεως πολιτεύεσθαι. Εἰ γὰρ ἦν ἀγαπητὸν αὐτῷ πόλεμοί τε καὶ μάχαι, ἐπετέρπετο δὲ καὶ σφαγαῖς ἀνθρωπίναις, τίς αὐτῷ χρεία ἐξ ἀρχῆς δημιουργῆσαι τὸν ἄνθρωπον, ὅν ἔμελλε μετὰ ταῦτα διαφθείρειν; Ἀλλ' ἐπειδὴ τὴν ὁρωμένην ἅπασαν κτίσιν δι' αὐτὸν ἐδημιούργησε, καὶ κύριον τοῦ παντὸς καὶ ἄρχοντα κατεστήσατο τοῦ ἐπαπολαύειν τῶν κτισμάτων αὐτοῦ, καὶ διὰ τῆς τούτων κατανοήσεως μεγαλύνειν καὶ δοξάζειν τὸ (1) ἀκατάληπτον τῆς τούτου σοφίας, πρόδηλον ὡς μισεῖ μὲν καὶ βδελύττεται πολέμους τε καὶ σφαγάς, τὰς ἐξ ἀνθρώπων ἐπινοίας εὑρεθείσας, καὶ διὰ φθόνον καὶ κακίαν τοῦ δαίμονος ἐπεισαχθείσας ἐν βίῳ (2), ἀγαπᾷ δὲ καὶ προσίεται τὴν εἰρήνην τε καὶ τὴν ἀγάπην, καὶ τοὺς ταύτην ἀγαπῶντας ἐπαινετοὺς καὶ μακαρίους καθίστησιν. Ὥσπερ γὰρ αἱ ὑπερκόσμιαι τῶν ἀγγέλων δυνάμεις εἰρηνικῶς πρὸς ἀλλήλας ἔχουσαι, τῆς τοῦ Θεοῦ δόξης πλειόνως ἐπαπολαύουσι, καὶ μᾶλλον αὐτὸς ἐπὶ τῇ τούτων εἰρηναίᾳ καὶ γαληνίῳ καταστάσει, οὕτω καὶ τὸν παρ' αὐτοῦ πλασθέντα ἄνθρωπον, εἰρηνικῶς καὶ ἀγαπητικῶς ζῆν βούλεται, ὅπως διὰ τῆς τοιαύτης ἀγάπης καὶ τῶν ἄνω καὶ κάτω καὶ παντὸς τοῦ κόσμου δείκνυται δημιουργός.

Διὰ τοῦτο καὶ τὴν σὴν περιφανῆ εὐγένειαν παρὰ πολλῶν ἀκηκοότες φρονήσει καὶ συνέσει καὶ ἀγαθότητι τοὺς πρὸ σοῦ δυναστεύσαντας ὑπερβαίνουσαν, ἐκρίναμεν πεῖραν λαβεῖν σε καὶ τῆς ἡμετέρας ἀγάπης, καὶ γνῶναι, οἵου ἐστερημένος ὑπῆρχες καλοῦ, μὴ πρὸ πολλοῦ γνωρισθεὶς τῇ βασιλείᾳ ἡμῶν. Τοῦτο, ὡς εἴρηται, εἰς ἔργον ἐξενεγκεῖν βουλόμενοι, πρὸ καιροῦ τινος ἐξεπέμψαμεν τὸν σπαθαροκανδιδᾶτον (3)

(1) Τὸ χειρόγρ.: *Τόν*.

(2) Γραπτέον: *Ἐν τῷ βίῳ*.

(3) Τοῦτο ἦν ἓν τῶν πολλῶν καὶ ποικίλων αὐλικῶν ἀξιωμάτων, ἅτινα ἡ βυζαντινὴ ματαιότης ἐδημιούργησεν. Ἔστι δὲ ἐξ ἑρμαφροδίτου συνθέσεως τοῦ: *σπαθάριος* καὶ τοῦ λατιν.: ***candidatus*** (ἑλλην.: *λευχείμων*, καὶ τροπ.: *λαμπρός*). Ἦν δ' ὁ τοιοῦτος,

Κωνσταντῖνον καὶ πρώξιμον μετὰ γραμμάτων ἡμῶν πρὸς Κακίκιον ἄρχοντα τῶν ἀρχόντων (1), ὡς ἂν ἐκ τῶν ἐκεῖσε πείσας αὐτὸν ἀποστείλῃ πρὸς τὴν ὑμετέραν εὐγένειαν, καὶ κωλύματός τινος παρεμπεσόντος οὐκ ἠδυνήθη πρὸς τὰ αὐτόθι παραγενέσθαι. Νῦν δὲ οὐκ ἀνεχόμενοι τὴν ὑμετέραν ἀγάπην καὶ φρόνησιν ἐπὶ τοσοῦτον ζημιοῦσθαι, ἐξεπέμψαμεν ἀρτίως τὸ παρὰ τῆς βασιλείας ἡμῶν γράμμα πρὸς τὴν ὑμετέραν εὐγένειαν, ἵνα γνῷς πῶς ἐπὶ πάντας ἐκχεῖται ἡ τῆς βασιλείας ἡμῶν ἀγαθότης. Εἰ γὰρ γνῷς καὶ αὐτός, ἔγνως δὲ πάντως καὶ παρὰ πολλῶν ἀκήκοας, τὸ τῆς τῶν Ῥωμαίων βασιλείας ὕψος τε καὶ μέγεθος, καὶ τὸ κατὰ πασῶν τῶν ἐπὶ γῆς ἐξουσιῶν κυριώτατον αὐτῆς καὶ ἀρχικώτατον, καὶ ὅσου πλούτου καὶ ἀγαθῶν τῶν ἐπὶ γῆς ἐμπέπλησται, ἐπαινέσεις τὰ μέγιστα σεαυτὸν τοιαύτῃ βασιλείᾳ μεγίστῃ καὶ λαμπροτάτῃ διὰ φιλίας συναφθείς. Εἰ οὖν ἔθου σκοπὸν κατὰ σεαυτὸν φίλος τῆς ἡμετέρας γενέσθαι βασιλείας, καταμήνυσον ἡμῖν διὰ πιστοῦ καὶ χρησίμου σου ἀνθρώπου, οἵαν καὶ αὐτὸς ἔχεις ἐνδιάθετον ἀγάπην πρὸς ἡμᾶς, ὡς ἂν καὶ ἡμεῖς ἐκ τούτου ἀκριβέστερον βεβαιωθῶμεν τὸν ὑμέτερον σκοπόν. Καὶ εἴ γε ὅλως βούλει φίλος ἡμῶν καὶ εἶναι καὶ ὀνομάζεσθαι, εἰ μὲν ἀρεστὸν διάγειν σε ἐν τοῖς μέρεσιν αὐτοῖς, τιμήσομέν (2) σε ἄρχοντα τῶν ἀρχόντων, καὶ κελεύσομεν τῶτε Κακικίῳ καὶ τῷ μαγίστρῳ Ἀπασηκίῳ (3), καὶ τοῖς λοι-

κατὰ Πορφυρογέννητον, ἑνὶ βαθμῷ τοῦ πρωτοσπαθαρίου ὑποδεέστερος [*Περὶ διοικ. τῆς βασιλ. πρὸς τὸν υἱὸν Ῥωμαν.* κεφ. να', σελ. 143]. Λατινικόν ἐστίν ὡσαύτως καὶ τὸ *πρώξιμος* (*proximus*, ἑλλην.: *ἐγγύτατος, πλησιαίτατος*, καὶ τροπ.: *ἐπιστάτης*)· οἷον: «*Παρόντος Μάμα τοῦ περιβλέπτου κόμητος καὶ προξίμου τοῦ θείου σκρινίου τῶν χογγιτιόνων*» [Βλ. Σπυρ. Μήλια *Συνόδ. Συλλογ.* τόμ. Β', σελ. 81].

(1) Τούτου γίνεται μνεία παρὰ τῷ Πορφυρογεννήτῳ ὡς ἄρχοντος *Βασπαρακακα*. Τὴν δὲ τοῦ *ἄρχοντος τῶν ἀρχόντων* προσηγορίαν ἀπένεμον οἱ Βυζαντινοὶ αὐτοκράτορες τοῖς τῶν ἀλλογενῶν ἡμεμόνων ὑποτελέσιν αὐτοῖς, ὡς φησιν ὁ αὐτός: «*Ἐπεὶ ὁ ἄρχων τῶν ἀρχόντων δοῦλος τοῦ βασιλέως τυγχάνει, ὡς παρ' αὐτοῦ προβαλλόμενος καὶ τὸ τοιοῦτο δεχόμενος ἀξίωμα, δῆλον ὅτι καὶ τὰ ὑπ' αὐτοῦ δεσποζόμενα κάστρα καὶ πολιτεῖαι καὶ χωρία τοῦ βασιλέως τῶν Ῥωμαίων τυγχάνουσιν*» [Ἔνθα ἀνωτ. κεφ. μδ'. σελ. 117-19]. Ἀλλαχοῦ δὲ πάλιν λέγει αὐτὸν *ἄρχοντα τοῦ Ἀσπουρακᾶν, ἤγουν τοῦ Βασπαρακᾶν*, ἥτις ἦν, ὡς φαίνεται, χώρα ἐν τῇ μεγάλῃ Ἀρμενίᾳ [*Ἐκθ. τῆς βασιλ. τάξ.* Β', μη', σελ. 396]. Καὶ ἐπὶ τῶν ἡμερῶν δὲ Κωνστ. τοῦ Μονομάχου (1042-55) ἀναφέρεται Κακίκιός τις ἄρχων Ἀνίου (χώρας ἀσιάτιδος) [Κεδρ. σελ. 556 ἑφ.], ὃς ἦν ἴσως ἔκγονος τοῦ ἐνταῦθα μνημονευομένου.

(2) Τὸ χειρόγρ.: *Τιμήσωμεν*, ὡς καὶ τὸ ἑπόμενον: *Κελεύσωμεν*.

(3) Καὶ τούτου γίνεται μνεία παρὰ τῷ Πορφυρογεννήτῳ [Ἔνθα ἀνωτέρω] ὡς ἄρχοντος «*εἰς τὴν μεγάλην Ἀρμενίαν καθεζομένου, εἰς τὸ κάστρον Κάρς*».

τοῖς τῶν τῆς Ἀνατολῆς ἄρχουσι, τοῖς οὖσιν ἐν τοῖς μέρεσιν αὐτοῖς, ὑπείκειν τῷ λόγῳ καὶ τῇ βουλῇ σου. Εἰ δὲ μᾶλλον προαιρῇ προςφυγεῖν τῇ βασιλείᾳ ἡμῶν καὶ συνεῖναι ἐν τῇ θεοφυλάκτῳ πόλει, ὑποδεξόμεθά (1) σε λαμπρῶς τε καὶ φιλοτίμως καὶ τιμήσομέν σε πατρίκιον, ἀνθύπατον καὶ στρατηγὸν ἐν οἷς ἂν θέλῃς θέμασι· παρέξομέν σοι δὲ καὶ οἶκον, καὶ προάστεια, καὶ πλοῦτον διά τε χρυσοῦ καὶ ἀργύρου καὶ βλατίου (2), ὥςτε σε παρ' ἁπάντων τῶν ἐπὶ γῆς ἀνθρώπων μακαρίζεσθαι, καὶ ἑτέρων ἀναριθμήτων ἐπιτεύξῃ ἀγαθῶν παρὰ τοῦ ἡμετέρου κράτους.

Ἡμεῖς μὲν οὖν τὴν σὴν ἀγάπην στέργοντες, τὸν ἡμέτερον σκοπὸν ἀνεκαλύψαμέν σοι· αὐτὸς δέ, καθὼς ἂν βούλῃ καὶ θέλῃς ἀντίγραψον ἡμῖν διὰ πιστοῦ καὶ χρησίμου σου ἀνθρώπου. Οἶδα δὲ πάντως, ὡς φρόνιμος ὤν, τὰ κρείττονα καὶ σωτήρια προκρίνῃς (3), καὶ οὐκ ἂν θελήσῃς τὴν ἐναντίαν πορευθῆναι, καὶ πρὸς σφαγὰς καὶ πολέμους αὐτομολεῖν, οἵτινες πλέον τῶν ἐλπιζομένων τὰς δυστυχίας ἔχουσιν, ἀλλὰ τὴν εἰρήνην ποθήσας, τῆς εὐκλείας καὶ παρὰ Θεῷ καὶ παρ' ἀνθρώποις ἐπιτύχῃς.

ΠΕΡΙ ΜΟΛΥΒΔΟΒΟΥΛΛΩΝ ΒΡΑΧΕΑ ΤΙΝΑ

ΥΠΟ

Ι. ΣΑΚΚΕΛΙΩΝΟΣ

Τῶν λεγομένων *μολυβδοβούλλων* ἡ ἔρευνα καὶ σπουδὴ εἰς τοιοῦτον βαθμὸν ἐν τῇ καθ' ἡμᾶς ἡλικίᾳ προήχθη, ὥςτ' ἴδιον ἀποτελέσαι κλάδον τῆς βυζαντινῆς ἀρχαιολογίας. Τὸ δὲ χρήσιμον τῆς τούτων σπουδῆς ἀποχρώντως ἀποδεικνύει ὁ σοφὸς Γουσταῦος Schlumberger ἐν τῷ προλόγῳ τοῦ ἐν Παρισίοις τῷ 1884 ἐκδοθέντος πολυτίμου πονήματος αὐτοῦ, ᾧ ἐπιγραφή: *Sigillographie de l'Empire Byzantin*. Ἐξ αὐτῶν γὰρ λαμβάνομεν γνῶσιν γεωγραφικῶν ὀνομάτων τῆς βυ-

(1) Κἀνταῦθα τὸ χειρόγρ.: *Ὑποδεξώμεθα*, ὡς καὶ τὸ παρακατιόν: *Τιμήσωμεν*.
(2) Βλατίον ὠνόμαζον οἱ Βυζαντινοὶ τὸ ἐκ σηρικοῦ πορφυροβαφοῦς ὕφασμα, οἷον τὸ ἱμάτιον (βελοῦδον ἢ ἀτλάζιον), ἰδίως ὅμως τὸ χρυσοΰφαντον εἴτε καὶ χρυσόστικτον.
(3) Γραπτ. ἴσως: *Προκρινεῖς*.

ζαντινῆς ἐποχῆς, μανθάνομεν ἐπισήμων ἀνδρῶν ὀνόματα, οἷον ὑπουργῶν τοῦ κράτους, ἀξιωματικῶν τῆς αὐλῆς, ἀρχιερέων, ἡγουμένων, στρατηγῶν, ναυάρχων, φρουράρχων, ἐπάρχων καὶ ἄλλων ἔτι λειτουργῶν τοῦ δημοσίου ἀνεπιγνώστων τέως ἡμῖν ἐκ τῆς σωζομένης ἱστορίας. Οὐ μὴν δ' ἀλλὰ καὶ οἱ περὶ τὴν ἁγιογραφικὴν ἀσχολούμενοι τέχνην διδάσκονται ἐξ αὐτῶν τὸν ἀρχαῖον τύπον τῆς τῶν ἐν τῇ Ἐκκλησίᾳ γεραιρομένων ἁγίων ἀπεικονίσεως.

Καὶ ἄλλοι μὲν πολλοὶ ἠσχολήθησαν πρὸς ἔκδοσιν καὶ ἑρμηνείαν εὐαριθμήτων τινῶν μολυβδοβούλλων ὀνομαστὶ καταλεγόμενοι ἐν τῷ τῆς βίβλου προλόγῳ, ἐν οἷς καὶ οἱ ἡμέτεροι ὅ τε ἔκκριτος νομισματολόγος κ. Π. Λάμπρος καὶ ὁ τὸ ἐθνικὸν νομισματικὸν Μουσεῖον διευθύνων ἄριστος νομισματογνώμων κ. Ἀχ. Ποστολάκας· ἀλλ' ὁ τὴν κορωνίδα τῇ τοιαύτῃ σπουδῇ ἐπιθείς, ἅτε δὴ ἐπιστημονικώτερον ἐγκύψας καὶ εἰδικῶς ἐνασχοληθεὶς πρὸς διαφώτισιν καὶ ἑρμηνείαν αὐτῶν, ἀναμφηρίστως ἐστὶν ὁ τὸ περὶ οὗ ὁ λόγος σύγγραμμα ἐκπονήσας, ἔργον ἀληθῶς μακροῦ χρόνου καὶ πόνου ἀτρύτου, ἁβρὰν δὲ γνῶσιν ἐλέγχον καὶ μελέτην ἐνδελεχῆ τοῦ περὶ οὗ πραγματεύεται θέματος. Ἅπαντα γὰρ τὰ μέχρι τοῦ νῦν γνωστὰ μολυβδόβουλλα, εἰς πολλὰς συμποσούμενα χιλιάδας, περιγράφονται ἀκριβῶς ὑπὸ τοῦ σοφοῦ συγγραφέως, σαφῶς ἐν γένει ἑρμηνευόμενα, μεθοδικώτατα δὲ κατατεταγμένα κατά τε βαθμοὺς τῶν προσώπων καὶ τάξιν χρονικήν. Ὅθεν εὐλόγως ἄν τις ὀνομάσειεν αὐτὸ *κλασικὸν* ἐν τῷ εἴδει αὐτοῦ ἔργον. Ἔστι δὲ τὸ βιβλίον πολυτελῶς ἐκτετυπωμένον ἐν σχήματι τετάρτου μεγάλου ἐπὶ χάρτου λαμπροῦ καὶ παχέος, ἐκ σελίδων 748 ἀπαρτιζόμενον, περιλαμβάνον δὲ καὶ χίλια ἑκατὸν πανομοιότυπα μολυβδοβούλλων ἀπεικάσματα.

Κοινὴ δὲ ἦν παρὰ τοῖς Βυζαντινοῖς, καὶ μάλιστα τοῖς τὰ κοινὰ πράττουσι, τῶν μολυβδοβούλλων ἡ χρῆσις. Ἐλλείψει γὰρ σφραγῖδος τὰ τοῦ κράτους φερούσης σήματα πρὸς χρῆσιν τῆς τοῦ δημοσίου ὑπηρεσίας, ὡς ἐστι παρὰ τοῖς νεωτέροις ἔθνεσιν εἰθισμένον, πάντες οἱ ἐν τέλει ἐχρῶντο ἕκαστος ἰδίᾳ τοιαύτῃ, δι' ἧς τὰς οἰκείας ἐπεσφράγιζον πράξεις εἰς ἔνδειξιν ἐπισημότητος. Καὶ αὐτοὶ δὲ οἱ βασιλεῖς, εἰ καὶ ἐν τοῖς λεγομένοις *χρυσοβούλλοις λόγοις* εἴτε θεσπίσμασιν ἐξήρτων τὴν ἐκ χρυσοῦ σφραγῖδα αὐτῶν, ἀλλ' ὅμως ἐχρῶντο καὶ μολυβδίνῃ ἐν τοῖς πρὸς δεσπότας, καὶ σεβαστοκράτορας, καὶ καίσαρας, καὶ βα-

σιλεῖς πάντας, καὶ πατριάρχας, καὶ ἀρχιεπισκόπους ἀποτεινομένοις πιττακίοις (1).

Ἀπετυποῦντο δὲ τὰ μολυβδόβουλλα διὰ τύπου διπτύχου, *βουλλωτηρίου* ὑπὸ τῶν Βυζαντινῶν καλουμένου, φέροντος δ' ἐγκεχαραγμένα ἑκατέρωθεν τά τε σύμβολα καὶ τὰ γράμματα τῆς σφραγῖδος. Ἐν τούτῳ τοίνυν τῷ τύπῳ ἐτίθετο πέταλον μολύβδου περιφερές, ἔχον τὸ τῆς περιφερείας πάχος διαμπερὲς τετρημένον, ὅπου διεπερᾶτο μήρινθος λινῆ, καὶ διὰ τῆς πιέσεως τά τε χαράγματα ἀπετυποῦντο ἐν τῷ μολύβδῳ καὶ ἡ μήρινθος συνεσφίγγετο ἐν τῇ διατρήσει. Οὕτω δ' ἔχουσαι αἱ σφραγῖδες ἐξηρτῶντο ὑποκάτωθεν τῶν ἐπισήμων ἐγγράφων. Ἐν τοῖς βασιλικοῖς ὅμως χρυσοβούλλοις ἐγίνετο χρῆσις μηρίνθου ἐκ σηρικοῦ ἰοβαφοῦς εἴτε *ὀξέος*, ὡς ἐκάλουν οἱ Βυζαντινοὶ τὸ τοιοῦτον χρῶμα· ὅθεν καὶ *Ὀξυβάφιον* ἐλέγετο χῶρός τις τῆς Κωνσταντινουπόλεως, ἐν ᾧ ἔκειντο τοῦ χρώματος τούτου τὰ βαφεῖα.

Ἐν τῷ περὶ οὗ ὁ λόγος πονήματι εὕρηται κατατεταγμένον (σελ. 209-10) καὶ μολυβδόβουλλον τοῦ περὶ μεσοῦσαν τὴν ΙΒ' ἑκατονταετηρίδα ἀκμάσαντος Κωνσταντίνου μητροπολίτου Κερκύρας (2), ἀπὸ τῶν *Κερκυραϊκῶν* τοῦ κλεινοῦ Ἀνδρέου Μουστοξύδου μεταληφθὲν (3), ἔνθα πρῶτος ἐξέδωκεν αὐτό. Διατηρεῖται δὲ τοῦτο ἐν τῷ ἐθνικῷ νομισματικῷ Μουσείῳ, εἰκονίζον ἔνθεν μὲν τοὺς κορυφαίους τῶν ἀποστόλων Πέτρον καὶ Παῦλον ἐν μέσῳ ἔχοντας τὸν περὶ οὗ ὁ λόγος ἱεράρχην, ἔνθεν δὲ φέρον ἐπιγραφὴν δίστιχον ἑπταμερῶς τετμημένην, τὴν ἑξῆς:

ΛΟΓΟΝ
ΜΑΘΗΤ.Ν
ΑΚΡΟΤΗCCΚЄ
ΠΟΙΤЄΜЄΤΟΝ
ΤȢΝΙΚΑΙΑCΚЄΡ
ΚVΡΑCΚѠΝ
ϚΑΝΤΙΝΟΝ

(1) Ἴδε Δουκαγγίου *Γλωσσάρ.* σελ. 218.

(2) Παρῆν ὁ ἱεράρχης οὗτος ἐν τῇ κατὰ Σωτηρίχου τοῦ Παντευγένου ὑποψηφίου πατριάρχου Ἀντιοχείας συγκροτηθείσῃ τῷ 1156 ἐν τῷ παλατίῳ τῶν Βλαχερνῶν συνόδῳ ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ, ἧς τὸ γεγονὸς Σημείωμα ἐκδέδοται ὑπὸ τοῦ καρδινάλεως Μαΐου ἐν τῇ *Ῥωμαϊκῇ Σταχυολογίᾳ* [*Spicileg. Roman*. τόμ. Ι', σελ. 1-93].

(3) *Delle Cose Corciresi* σελ. 416·

Λόγου μαθητ.ν ἀκρότης σκέποιτέ με
τὸν τοῦ Νικαίας Κερκύρας Κωνσταντῖνον.

Καὶ λοιπὸν ἀναπληρῶν ὁ γεραρὸς ἀνὴρ τὸ ἐν τῇ ληκτικῇ συλλαβῇ τῆς δευτέρας λέξεως ὑπὸ τοῦ χρόνου ἐξαφανισθὲν φωνῆεν διὰ τοῦ Η, ἐκδέχεται τὴν τοῦ λόγου πλοκὴν οὕτω:

Ἀκρότης σκέποιτέ με Κωνσταντῖνον
Κερκύρας τὸν μαθητὴν τοῦ Νικαίας λόγου,

καὶ κατ' ἀκολουθίαν ἑρμηνεύει τὴν ἐπιγραφὴν ὡς ἑξῆς: ***O Sommità, tutelate me Constantino (vescovo) di Corcira, il discepolo della parola di Nicea*** (τουτέστι τῷ τῆς πίστεως συμβόλῳ ἑπόμενον, ὅπως ἡ ἐν Νικαίᾳ Σύνοδος ἐδογμάτισεν αὐτό). Ὅθεν καὶ ὁ πάσας τὰς τῶν γνωστῶν μολυβδοβούλλων στιχηρὰς ἐπιγραφὰς συλλέξας καὶ ἐκδοὺς W. Froehner τῇ τοιαύτῃ κατακολουθήσας ἑρμηνείᾳ οὕτω κἀκεῖνος φησί: ***Μαθητὴν τὸν τοῦ λόγου Νικαίας, disciple du concile de Nicée.— Princes des apôtres, protegez-moi, Constantin, (métropolitain) de Corcyre, disciple du texte de Nicée (des enseignements) du concile de Nicée.***

Ἀλλά, μεθ' ὅλον τὸ τῇ ἀλήστῳ μνήμῃ τοῦ γερασμίου ἀνδρὸς ὀφειλόμενον σέβας, ἐφείσθω μοι παρατηρῆσαι, ὅτι ἡ τοιαύτη τῆς ἐπιγραφῆς ἐκδοχὴ λίαν βεβιασμένη φαίνεται καὶ ὅλως ἀπροσδιόνυσος· οὔτε γὰρ ἡ τοῦ λόγου πλοκὴ ἔχει ὀρθῶς, οὔτε μὴν ἡ ἔννοια εὐοδοῦται. Ἡ πρώτη λέξις ΛΟΓΟΥ ἀναφέρεται οὐχὶ εἰς τὸ ἱερὸν τῆς πίστεως σύμβολον, τὸ ὑπὸ τῆς ἐν Νικαίᾳ Α' οἰκουμενικῆς Συνόδου δογματισθέν, ὡς ὑπέλαβεν ὁ σοφὸς ἀνήρ, ἀλλ' εἰς αὐτὸν τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ· ἄτοπον γὰρ ἂν εἴη ὑποθέσθαι τὸν ἀρειανισμὸν ἀκμάζοντα ἔτι καὶ κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα, ἧς αἱρέσεως ἤθελε δῆθεν ὁ ἱεράρχης οὗτος ἀκηλίδωτον ἑαυτὸν παραστῆσαι. Τὸ δὲ ἐκ τῆς ληκτικῆς συλλαβῆς τῆς δευτέρας λέξεως ἐκλιπὸν φωνῆεν, οὐδεμία λείπεται ἀμφιβολία, ὅτι ἦν οὐχὶ τὸ Η ἀλλὰ τὸ Ω· οὕτω γὰρ ἀποτελεῖται ἡ ἐν τοῖς ἐκκλησιαστικοῖς βιβλίοις συνήθης φράσις: *οἱ μαθηταὶ τοῦ Λόγου.* Κατ' ἐμὲ ἄρα, ἡ ὀρθὴ συνθήκη καὶ ἑρμηνεία

τῆς ἐπιγραφῆς ἔχει οὕτω: [*Πέτρε καὶ Παῦλε τῶν τοῦ θεανθρώπου*] ΛΟΓΟΥ ΜΑΘΗΤΩΝ [*ἡ*] ΑΚΡΟΤΗϹ (=οἱ κορυφαῖοι) ϹΚΕΠΟΙΤΕ ΜΕ ΤΟΝ Τ8 ΝΙΚΑΙΑϹ [*ἱεράρχου υἱὸν*] ΚΕΡΚΥΡΑϹ [*μητροπολίτην*] ΚΩΝϚΑΝΤΙΝΟΝ.

Καὶ μηδεὶς θαυμαζέτω, ὅτι εἶχεν υἱὸν ὁ τῆς Νικαίας ἀρχιερεύς· γνωστὸν γὰρ ὅτι ἔχει ἡ ἀνατολικὴ Ἐκκλησία συμφώνως τοῖς ἱεροῖς θεσμοῖς καὶ ἱερεῖς ἐγγάμους, τοὺς καὶ *πρεσβυτέρους* λεγομένους. Ἔξεστι δὲ χηρεύοντας αὐτούς, ἢ καὶ τῶν ἰδίων γυναικῶν ἐκ κοινῆς συμφωνίας προδιαζευχθέντας, εἰς ἱεράρχας προχειρίζεσθαι. Τοιοῦτοι δὲ πλεῖστοί περ ὅσοι ὑπῆρξαν καὶ ἔτι καὶ νῦν ὑπάρχουσιν υἱοὺς ἔχοντες καὶ θυγατέρας. Οὐ μὴν δ' ἀλλὰ καὶ ἐκ τῆς πρός τινα πρόσωπα στενῆς σχέσεως καὶ οἰκειότητος ἔστιν ὅτε ἐλαμβάνετο ἡ προςωνυμία. Οὕτως ἐν παραδείγματι Εὐσέβιος ὁ Καισαρείας ἐπίσκοπος, ὁ καὶ πατὴρ τῆς Ἐκκλησιαστικῆς ἱστορίας δικαίως ἀκούων, ἐπωνομάζετο *ὁ Παμφίλου*, δι' ἣν εἶχεν ἔνθερμον ἀγάπην πρὸς τὸν πρεσβύτερον καὶ μάρτυρα Πάμφιλον.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΜΟΣΧΟΥ ΛΟΓΟΣ ΕΠΙΤΑΦΙΟΣ
ΕΠΙ ΤΩ ΛΟΥΚᾼ ΝΟΤΑΡᾼ.

ΕΚΔΙΔΟΜΕΝΟΣ ΥΠΟ

ÉM. LEGRAND.

(Ἐκ τοῦ ὑπ' ἀρ. 2731 ἑλληνικοῦ κώδικος τῆς Ἐθνικῆς βιβλιοθήκης τῶν Παρισίων).

[φ. 176α] *Ἐπιτάφιος λόγος ἐπὶ τῷ ἐνδοξοτάτῳ καὶ ἐκλαμπροτάτῳ μακαρίτῃ μεγάλῳ δουκὶ κυρῷ Λουκᾷ τῷ Νοταρᾷ, Ἰωάννου τοῦ Μόσχου.*

Τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν, κἂν τῷδε μὲν ἔτι περιόντας τῷ βίῳ, δίκαιον τιμᾶν πανταχοῦ, εἴπερ τοῦ καλοῦ προσήκει λόγον ποιεῖσθαι ἀεί· πολλὰ δὲ πλέον οἶμαι ἡνίκα τοῦ ὑπὸ πάντων ἐπαινουμένου τύχοιεν τέλους, ὅ τινες ἤδη καὶ ὅρον εὐδαιμονίας ἐνόμισαν. Τῶν μὲν γὰρ ἐγγὺς ἡ μνήμη ἡμῖν πολλάκις τε ὁρῶσι καὶ συγγινομένοις αὐτοῖς· τῶν δὲ οἰχομένων οὐ δύναται παραμένειν, τοῦ χρόνου αὐτὴν διαφθείρον-

τος. Οὕτω γοῦν καὶ τοὺς ἐπιταφίους ἐπενόησαν ἤδη, οὐ μόνον τοὺς τοιούςδε ἄνδρας τιμῶντες οἱ λέγοντες, καὶ ὅσα εἰκὸς πρὸς εὐφημίαν αὐτῶν διεξιόντες, ἀλλὰ καὶ τὸν χρόνον μὴ λήθῃ παραδοῦναι ἐῶντες τὴν αὐτῶν μνήμην καὶ ἀρετήν.

Ἔδει μὲν οὖν τὸν νῦν ὡς τοιοῦτον παρ' ἡμῶν εὐφημούμενον μὲν (1) λόγοις ἐπιταφίοις πειρᾶσθαι τιμᾶν καὶ ἅττα δὴ προσῆν αὐτῷ τούτῳ τῷ τρόπῳ διεξελθεῖν, εἴπερ εἰς ὑπόμνησιν ἡμᾶς τῶν μεγίστων συμφορῶν ἄγει ἡ τοῦ ἀνδρὸς ἀποβίωσις, ἀλλ' ἐγκωμίων φιλοτιμίας συχναῖς ἔτι περιόντα τῷδε τῷ βίῳ, καὶ ταῖς εἰωθυίαις αὐτῷ μετὰ βασιλέως χρώμενον κηδεμονίαις ὑπὲρ τοῦ γένους· εἴπερ αὐτὸς βασιλεὺς καὶ πόλις ἡ Ῥωμαίων πατρὶς μὴ τῇ βαρβαρικῇ χειρὶ περιέπεσον. Ἐπεὶ δὲ λόγοις ἀρρήτοις φεῦ οἴχονται πάντα καὶ μυρίαις καὶ ἀνηκέστοις συμφοραῖς τὸ γένος ὑπε[πε]πτώκει, καὶ κλυδὼν ἐντεῦθεν ἁπανταχοῦ, καὶ κίνδυνος οὐ μικρός, ἅτ' ἐπὶ μέγα τῆς βαρβαρικῆς ἠρμένης δυνάμεως, σαφὲς ἂν γένοιτο γνώρισμα τῆς περὶ τὸν ἄνδρα προνοίας θεοῦ, μεταστῆσαι βουληθέντος αὐτὸν τῶν ἐντεῦθεν πρὸς τὴν ἀγήρω καὶ μακαρίαν ζωήν, ἧς ἐρῶν πάντα τὸν βίον ἐφαίνετο καὶ πᾶσαν ἀνθρωπίνην εὐδαιμονίαν οὐδὲν ἐλογίζετο. Οὗτος τοίνυν ὁ θεῖος ἀνήρ, ὁ περιβόητος μὲν αἷς ἐκοσμεῖτο ποικίλαις παρὰ θεοῦ δωρεαῖς, τῇ δὲ πρὸς αὐτὸν ἀγάπῃ καὶ πίστει οὐδενὸς ἄλλου ἡττώμενος, οὐδ' οἷς ἀδιαλείπτως ἐκέχρητο πρὸς θεραπείαν αὐτοῦ, οὐκ ἐμοὶ μόνον ἀλλὰ καὶ πᾶσιν ὅσοι φιλοτιμότερον ἂν τῶν τοιῶνδε ἅψαιντο λόγων εἰκότως ἂν εὐφημοῖτό τε καὶ ἀναγορεύοιτο, τοῦτο μὲν ὅτι οὐδενὸς ἥττων ὤφθη ἀγωνιζόμενος ὑπὲρ πατρίδος καὶ γένους τοῦ ἑαυτοῦ καὶ ὅπως αὕτη ἄμεινον ἕξει, ἃ δὴ πάντα ἡ τῶν κοινῶν προστατεία (2) καὶ ἐπιμέλεια τοῦ ἀνδρὸς βεβαιοῖ· τοῦτο δ' ὅτι καὶ τέλους ἔτυχε τοῦ παρόντος βίου ἐπαινετοῦ, ὅπερ οἷόν τι σφραγὶς ἐπιτεθεῖσα πᾶσιν οἷς ἄν τις εἰπεῖν ἔχοι περὶ αὐτοῦ λαμπρότερον αὐτὸν ἀποδείκνυσι, καὶ γένος καὶ πατρίδα κἂν τούτῳ ὥσπερ δὴ κἂν τοῖς ἄλλοις κατακοσμοῦντα, εἴτε τὴν προσεχῆ βούλοιτό τις λέγειν, εἴτε δὴ καὶ τὴν πορρωτέρω, ἐπεὶ Πελοποννήσιος τὸ ἀνέκαθεν ὁ ἀνήρ· ἡ δ' ἐκεῖνον ἐνεγκαμένη, ἡ πάλαι πασῶν προέχουσα πόλεων ἦν, ἣν ἴσασι πάντες, αὐτό φημι τὸ Βυζάντιον. Ὁ γὰρ ταῖς αὐτοῦ ἀρεταῖς προσεχῆ πατρίδα κοσμεῖν δυνάμενος· οὐδὲν γάρ, οἶμαι, τὸ κωλῦον καὶ πατρίδα καὶ γένος ὅλον τοὺς

(1) Γραπτέον ἴσως: μή. (2) Χειρογρ.: προστατία.

τοιούτους κοσμεῖν· ἑπομένως ἂν καὶ τὴν πορρωτέρω κοσμοίη, ὅσον προσήκει κἀκείνῃ τοῦ κόσμου μεταδιδούς.

Ἤνεγκε τοίνυν αὐτὸν τὸ Βυζάντιον, ἡ πόλις ἡ περιώνυμος, καλῶς πάνυ καὶ ὡς ἐχρῆν ὕστερον ἀπολαβοῦσα παρ' αὐτοῦ τὰ τροφεῖα, ὡς ὁ λόγος ἐρεῖ προϊών· τούς γε μὴν ἄνωθεν προγόνους αὐτοῦ μία τις τῶν ἐν Πελοποννήσῳ δοκιμωτάτων πόλεων, γένους ὄντας ἐπισήμου τῶν ἐν ἐκείνῃ γενῶν, τοὺς δὲ (1) ἐγγυτέρω τούτων πάππον τε καὶ πατέρα, τὸ αὐτὸ Βυζάντιον ἤνεγκεν· ὃς τὸν ἕνα καὶ κρείττω τῶν τρόπων ἔχων τῆς εὐγενείας μάλιστα ἄξιος ἐδόκει καὶ τῶν λοιπῶν· κοσμούμενος γὰρ ἀρετῇ, κοσμούμενος δὲ πολιτείᾳ πανταχοῦ ζηλουμένῃ, ἵνα μὴ λέγω πλούτῳ καὶ βίου περιφανείᾳ, καὶ τῶν κοινῶν ἐπιμελεῖσθαι δόκιμος ἤδη φανείς, συνεδρίου τε τοῖς παρὰ τῷ βασιλεῖ πρώτοις ἐκρίθη κοινωνεῖν τοῦ αὐτοῦ καὶ βουλευμάτων μάλιστα πρὸς αὐτοῦ βασιλέως. Ἔδει δὲ ἄρα κεῖνον μὲν τοιούτου γενέσθαι πατέρα παιδός, τοῦτον δὲ αὖ τοιούτου παῖδα πατρός, ἵν' εὐκλείας ἀντιδοῖεν ἀλλήλοις ἑκάτεροι· μάλιστα δὲ ἔ τι πρὸς ταύτην ἐκείνων ἦν ἐλλιπές, ἐξηλήψεσθαι ὕστερον παρὰ τοῦ παιδός. Εὐθὺς οὖν ἐκ παίδων οὗτος ἦθος ἐφαίνετο σεμνὸν καὶ κόσμιον κεκτημένος καὶ φρόνημα ὀλίγοις τῶν ἐν νέοις τελούντων προσόν· ἀνδρὶ μέν τινι παιδαγωγῷ χρώμενος, ᾧ προστέταχεν ὁ πατὴρ τῆς αὐτοῦ παιδαγωγίας ἐπιμελεῖσθαι, τῇ δ' ἀληθείᾳ τῇ οἰκείᾳ φύσει παιδαγωγούμενος· τὰ δὲ ἱερὰ ἐκπαιδευόμενος γράμματα, οὐ μόνον σύννους ἦν καὶ (2) σεμνὸς καὶ πλέον ἢ προσήκει παισίν, ἀλλὰ καὶ πρὸς πᾶν τὸ ν αὐτοῖς ἐπιγινόμενον τῇ νεότητι ὡς ἐπὶ τὸ πλεῖστον ἀνένδοτος· φύσει ἀρ, ὡς ἔοικεν, ἐκείνῳ τοῦτο μᾶλλον ἢ παιδεύσει προσόν, οὐδαμῶς ὰ πρὸς τοὐναντίον αὐτὸν ἀποκλίνειν ὥστε ἄσεμνά τινα καὶ νέοις ροσήκοντα δρᾶν· καὶ τοῦτ' οἰωνὸς εὐθὺς πᾶσι μέγας ἐδόκει, καὶ φαντάζεσθαι πάντας ἐποίει οἵπερ ἡ θεία ἐκείνη ψυχὴ προελεύσεται. Ἐπεὶ ἐ προϊὼν ἤρχετο καὶ βασιλείοις φοιτᾶν, καὶ ὅ,τι ποτὲ βασιλεὺς τυγχάνει ὢν ἤδη κατανοεῖν καὶ τάξις βασιλική, καὶ ἁπλῶς ὅσα βασιλέως οἶκος ἐκέκτητο, δῆλος ἦν, καίτοι τοῖς πολλοῖς τῶν ἡλίκων καὶ γενῶν συναναστρεφόμενος, ὥσπερ εἰκός, οὐ ταὐτὰ τούτοις ὅμως ιονῶν. Οἱ μὲν γὰρ πλούτῳ τε καὶ τῇ ἄλλῃ περιφανείᾳ τοῦ ἰδίου ακτος θρυπτόμενοί τε καὶ φυσιούμενοι, ἃ νέοις εἴθισται δρᾶν, ὡς όκει ἑκάστῳ μετίασιν· ὁ δὲ πόρρω τοιαύτης γνώμης τυγχάνων,

(1) Χειρ. γάρ. (2) Χειρ. ἢ.

οὔτε πρὸς αὐτοὺς ᾤετο δεῖν ἀφορᾶν, οὔτε ζηλοῦν ἅπερ ἐκεῖνοι, οὔτε μὴν ἃ μετίασιν μετιέναι, ἀλλ' ἐκεῖνο προὔργου τιθέναι, πῶς ἂν βασιλεῖ τε αὐτῷ καὶ πᾶσι φαίνοιτο τὰ προσήκοντα δρᾶν, καὶ τἀμείνω περὶ ἑαυτοῦ σκεπτόμενός τε καὶ βουλευόμενος. Ὅθεν ὁ βασιλεὺς ὑπεραγάμενος τὸν νέον, καὶ παντὸς ἄλλου μᾶλλον φανταζόμενος οἷ προχωρήσει τἀκείνου, προσεῖχεν αὐτὸν τότε εὐμενῶς, καὶ βασιλικαῖς νουθεσίαις οὐκ (1) ἔλειπεν ἀεὶ παροτρύνων καὶ πρὸς ἐπίδοσιν ἀγαθήν· δύναται δὲ πρὸς τοῦτο βασιλικὴ νουθεσία, ὅσον ὑπερφέρει πάντων ὁ βασιλεύς· καὶ πρὸς μεγίστας ἐλπίδας ἀνάγων (2) τὸν νουθετούμενον. Οὕτω πανταχόθεν ἐκεῖνος καταμικρὸν ὀχυρούμενος (3) εὖ, ὥστε παντὸς ἀπρεποῦς ἔργου καὶ μέμψεως οὐ πόρρω φαινομένου ἀφίστασθαι, τοῦτο δὴ τὸ λεγόμενον, τὰ τῶν γερόντων ἦν ἐν νεότητι δρῶν, καὶ τὴν νεότητα τούτοις κοσμῶν ὑπερφαίνουσαν εἶχε τἀκείνου καλῶς καὶ πάντας ἀναπείθουσαν, ὡς λόγων μεγίστων ἀξιωθήσεται ὕστερον, καὶ κοινῆς τινὸς φήμης λαμπρῶς πάνυ διαγγελλούσης τὰ κατ' αὐτόν.

Ἤδη δὲ καὶ πρὸς τελειοτέραν ἡλικίαν προβάς, καὶ τοῦ καιροῦ καλοῦντος, γήμας τῶν εὖ γεγονότων θυγατέρα τινὸς καὶ πλούτῳ θαυμαζομένου, φιλοσοφίαν μετήει ἐπιμελῶς, οὐ ταύτην τὴν ὄντα σκοποῦσαν ἢ ὄντα εἰσίν, ὅπου γε καὶ αὐτῆς, βραχείᾳ μαθήσει τε καὶ μελέτῃ, τὸ δὲ πλέον ὀξύτητι φύσεως, οὐκ ἀπείρως ἔχων ἐφαίνετο, ἀλλὰ τὴν ἤθη κοσμεῖν δυναμένην, καὶ οἶκον καὶ πόλιν, ἐπεὶ καὶ νόμους πρότερον ἠσκηκὼς ἦν καλῶς τοὺς πολιτικούς, καὶ πολλὴν ἐνδεικνύμενος τὴν περὶ αὐτοὺς ἐπιμέλειαν, ἅτε τὸ δίκαιον ἀσπαζόμενος καὶ τιμῶν πανταχοῦ. Οὕτως οὖν ἐκόσμησεν οἶκον τὸν ἑαυτοῦ, ὥστε πάντας θαυμάζοντας οὐκ ἔχειν (4) τίνι τὸν ἄνδρα παραβάλλοιεν ἂν ἐν τούτῳ. Τοῦ δὲ βασιλέως ὁρῶντος (5) αὐτὸν ἅμα μὲν εὔνοιαν τὴν πρὸς αὐτὸν ἤδη τηροῦντα, ἅμα δὲ καὶ τὴν περὶ τὰ πολιτικὰ διοίκησιν καὶ ἐπιμέλειαν ἱκανόν, ὅτι καὶ τῷ πρὸς ταῦτα φίλτρῳ οὐδενὸς ἡττώμενος ἦν, ὡς ἂν εὖ ἡ Πόλις διάγῃ, καὶ τοῦτο μὲν ἐν ταῖς ξυμβουλαῖς εὐδοκιμοῦντα, τοῦτο δ' ἐν κατεπειγούσαις χρείαις καὶ καιροῖς ἀναγκαίοις τὸ προσή-

(1) Χειρ. οὐδ'.
(2) Χειρ. ἀνάγειν.
(3) Χειρ. ὀχυρώμενος.
(4) Χειρ. ἔχει.
(5) Χειρ. ὁρῶντες.

κον καὶ λυσιτελὲς δρᾶν ἐπιτήδειον, οὐκ ἦν εἰκὸς ἔξω εἶναι τῶν παρ' ἐκείνου τιμῶν καὶ μεγίστων ὑπηρεσιῶν καὶ ὀλίγοις ἀνηκουσῶν· ἀλλὰ ταχὺ τούτων ἠξιοῦτο, μέχρις οὗ, προϊόντος τοῦ χρόνου, τῆς ἐκείνου διαλαμπούσης ἀρετῆς, καὶ αὐτῶν ἠξιώθη τῶν πρώτων. Ὡς γὰρ αὐτὸν ἡ χρεία ἐκάλει πρὸς τὰ πολιτικά, ὁ βασιλεὺς τοῖς ταῦτ' ἐπισκεπτομένοις κἀν τούτῳ φέρουσι τὰ πρωτεῖα, ὡς ἔθος Ῥωμαίοις, τὸν ἄνδρα συνετετάχει, οὔτε φύσεως δεξιότητι, οὔτ' ἰσχυρότητι φρονήσεως ἡττώμενον οὐδενός. Ὁ δέ, ὡς ταύτης || [φ. 179α] τῆς κρείττονος καὶ πρώτης ἠξιώθη τιμῆς, καὶ ἔδει μήτε τῶν ἐν τοῖς βασιλείοις γινομένων ἀπολείπεσθαι, μήτε μὴν τῆς τῶν πολιτικῶν ἐπιμελείας (1) ἀφίστασθαι, καὶ ἁπλῶς ὧν ἐδεῖτο ἡ Πόλις μεθ' ὧν ἐτέτακτο κήδεσθαι, κρείττων ἢ ὡς ἄν τις ἤλπισεν ὤφθη τούτων ἁψάμενος.

Αἴτιον δὲ ἦν ὅτι πολλαῖς δωρεαῖς θεόθεν κατεκοσμεῖτο, καὶ πᾶν τὸ λυσιτελοῦν, εἴ τις καὶ ἄλλος, κατανοεῖν καὶ ἐκλέγεσθαι ἐπιτήδειος ἦν καὶ δρᾶν μετὰ πάσης συνέσεως καὶ προνοίας. Καὶ ὅπου τοίνυν φύσις μὴ ἦν οὕτως ἐπιτηδεία καὶ ταχὺ τῷ λυσιτελοῦντι τοῖς πράγμασιν ἐπιβάλλουσα, ἐπιμέλεια δὲ καὶ φροντὶς ἀξία λόγου παντός. Συνεφέρετο δὲ τῷ βασιλεῖ ὁμογνωμονῶν, οὐδενὸς δὲ ἡττᾶτο τῶν ταὐτὰ τούτῳ συνδιασκεπτομένων αὐτῷ, ὅπως ἀμείνονος τὰ πράγματα τύχῃ μεταβολῆς. Ἐξῆν ἄρα φαντάζεσθαι πάντας, καὶ μάλα εἰκότως, ἄρτι τὴν ἔτι περιλειπομένην Ῥωμαίων ἀρχήν, τῆς δεινοτάτης μεγίστης ἐκείνης ταραχῆς καὶ τοῦ βαρβαρικοῦ κινδύνου ἀπαλλαγεῖσαν, μηκέτι τῇ αὐτῇ τύχῃ περιπεσεῖν. Ἀλλ' ἐπειδὴ τὸ γένος παλαιοῖς ἀτυχήμασι χαυνωθὲν οἴκοθεν ἀντιφέρεσθαι τῇ τῶν βαρβάρων δυνάμει ἐπὶ μέγα ἠρμένῃ παντελῶς ἠμηχάνει, οὔτε γὰρ στρατευμάτων, οὔτε μὴν χρημάτων ηὐπόρει, θείας || [φ. 180α] δὲ μόνον ἐδεῖτο ῥοπῆς καὶ τῆς ἔξωθέν ποθεν συμμαχίας, βασιλεὺς ἐκεῖνος ὁ συνετώτατος, ταῦτα πάντα ὁρῶν, ταῖς τοῦ ἀνδρὸς ὑποθήκαις τούτου, καὶ εἴ τις ἄλλος ἐκείνῳ συνῆν, πρεσβείας ἐποιεῖτο πρὸς Ἰταλούς, πρὸς Οὔνους, ὧν πολλάκις ἐκστρατευσαμένων πόλεμοί τε συνερράγησαν μεταξὺ αὐτῶν τε καὶ τῶν βαρβάρων, καὶ ἧτται καὶ ἔκπληξις ἐκείνοις συνέβησαν, οὔτω δὲ οὐ μικραί τινες, ὥστε τοῦ τῶν βαρβάρων ἡγεμόνος, τὸ μὲν ἑκόντος, τὸ δὲ ἴσως καὶ ἄκοντος, ὃ πρότερον ὀγκηρὸν

(1) Χειρ. ἐπιμέλειαν.

εἶχε φρόνημα μεταβαλόντος, ἥ τε Πόλις καὶ τὰ περὶ αὐτὴν ἐσώζετο,
πάντα, νῆσοί τε καὶ αὐτὴ Πελοπόννησος.

Ἐν γοῦν ταῖς περὶ τῶν τοιούτων κοινολογίαις καὶ ξυμβουλαῖς τίς
ἀμείνων τἀνδρὸς ἐκείνου καὶ δοκιμώτερος; τίς δ' ἐπικρίνειν τὰ δό-
ξαντα καὶ τὸ πάντων μάλιστα λυσιτελέστερον ἐκλέξασθαι ἐπιτηδειό-
τερος; Οὕτω τοίνυν, προϊόντος τοῦ χρόνου καὶ τῶν πραγμάτων ἤδη
προδήλως τὴν ἐπὶ τὸ κρεῖττον ἐχόντων μεταβολήν, περιήγγελλε
μὲν τὸν ἄνδρα ἡ φήμη ἀπανταχοῦ· .ἐγνωρίζετο δὲ τῷ βαρβάρῳ καὶ
νήσοις πάσαις σχεδὸν καὶ αὐτῇ τῇ Ἰταλίᾳ, εἰ δὲ βούλει καὶ πε-
ραιτέρω, καὶ τοῖς ἄρχουσι καὶ ἡγεμόσιν αὐτῶν καὶ πᾶσι δήλη
ἡ ἐκείνου ἐγίγνετο ἀρετή· τοιαῦτα δὲ ἀεὶ δια || [φ. 180^{β}] γ-
γέλλουσα, οὐκ ἔξω τοῦ προσήκοντος λόγου, ἐκείνους ἀνέπειθε φι-
λίας τε τῆς σφετέρας αὐτὸν ἀξιοῦν καὶ τιμῆς μεγίστης, ἧς οἱ σπου-
δαῖοι καὶ θεῖοι. ἄνδρες τυγχάνουσιν ἄξιοι. Ῥωμαῖοι δέ, ταῦτα
ὁρῶντες, ἥδοντο μεθ' ὑπερβολῆς ἐπὶ τῇ μεγαλονοίᾳ καὶ σπουδῇ
τοῦ ἀνδρός, αἷς χρώμενος οὐδενὸς τῶν οἰκείων ἐφείδετο ὑπὲρ τῶν
κοινῶν, οὐδὲν δ' ἧττον καὶ ὅτι τοιοῦτον ἡ πατρὶς ἤνεγκεν ἄνδρα,
ὡς ἀκοῇ μόνῃ πάντας πρὸς τὴν .αὐτοῦ εὔνοιαν ἠδύνατο ἐπισπᾶ-
σθαι· διὰ δὴ ταῦτα μέγα τι καὶ κοινὸν πρὸς αὐτὸν ἐνδεικνύμενοι φίλ-
τρον, σχεδόν τι μόνῳ τῶν ἄλλων προσεῖχον ὅσοι σὺν αὐτῷ τῷ βασι-
λεῖ προσιόντες τὰ κοινὰ διεσκέπτοντο, οὐχ ὡς οὐ δοκιμωτάτων κἀ-
κείνων ὄντων ἢ μὴ τῶν αὐτῶν παρὰ βασιλέως ἠξιωμένων, ἀλλ' ἐπειδὴ
κοινότερός τις καὶ πολιτικώτερος ἐδόκει τῶν ἄλλων, καὶ μὴν προση-
νέστερός τε καὶ χαριέστερος. Οἵ τε οὖν τῆς συγκλήτου πρῶτοι, μεθ'
ὧν ἐκήδετο τῶν πολιτικῶν, περὶ οὐδενὸς ἤριζον τῷ ἀνδρί· τό τε λοι-
πὸν αὐτῆς τῆς συγκλήτου καὶ σὺν αὐτοῖς τὸ δημοτικὸν ἅπαν, πάν-
τες δεῖν ᾤοντο μετὰ βασιλέα τὸν ἄνδρα καλεῖν προστάτην, ἀντιλή-
πτορα, αἴτιον τῇ Πόλει καὶ τῷ γένει παντὸς ἀγαθοῦ. Τὸ δὲ δὴ στρα-
τιωτικόν, ἐκείνῳ προσέχοντες μάλιστα καὶ || [φ. 181^{α}] μετὰ παν-
τὸς θάρρους καὶ εὐνοίας προσιόντες αὐτῷ, οὐχ ὧν ἐδέοντο ἀμοιροῦντες
ἀπῄεσαν· ταῦτα δὲ ἄρ' ἦν πρόσοδοι καὶ βασιλικαὶ εὐποιίαι καὶ δω-
ρεαί, ᾗ που ὡς ἔδει, πάντ' ἐτελεῖτο τῇ ἀρίστῃ κηδεμονίᾳ τἀνδρός.

Πολλάκις δὲ ἢ μηδενὸς ἀναγκαίου παρεκπεσόντος, ἢ καὶ τοῦ χει-
μῶνος κωλύοντος αὐτὸν τοῖς βασιλείοις φοιτᾶν, ἦν συλλόγους ὁρᾶν
ἐν τοῖς οἴκοις ἐκείνου, ἀνδρῶν οὐκ ὀλίγων συνερχομένων μέρος τι τῶν

ἐπιτεταμένων νυκτῶν αὐτῷ συνδιάγοντας· ὧν οἱ μὲν περὶ δογμάτων θεολογικῶν ἐποιοῦντο τὸν λόγον, καὶ τοῖς τοιούτοις προσεῖχον τὸν νοῦν· οἱ δὲ φιλοσόφων ἥπτοντο ζητημάτων τε καὶ θεωριῶν· ἄλλοι δὲ τὰς ἱστορικὰς μετῄεσαν (1) βίβλους, τά τε τῶν Ἑλλήνων ἔργα καὶ τῶν Ῥωμαίων σκεπτόμενοι· ὅσοι δὲ νεώτεροι καὶ πεττοῖς πρὸς ψυχαγωγίαν ἐχρῶντο. Διὰ δὴ ταῦτα τοὺς πανταχόθεν ἀφικνουμένους εἴτε προσβαίνοντες, εἴτε κατ᾽ ἐμπορίαν (2), εἴτε καὶ ἄλλως πως τύχοιεν ἀφιγμένοι, ἀνέπειθεν ἔρως προσιέναι αὐτῷ (3), τοὺς μὲν ὡς τὰ μέγιστα δυναμένῳ παρὰ τῷ βασιλεῖ, καὶ ὧν ἕνεκεν ἧκον ταχὺ δι᾽ αὐτοῦ εἰς πέρας ἀγαγεῖν διαλογιζομένους· τοὺς δ᾽ ὅπως ἃ περὶ τῆς ἐκείνου ἤκουον ἀρετῆς· πλεῖστα γάρ, ὡς εἴρηται, ἡ φήμη διήγγελλεν· ἄμεινον αὐτὴν πείρᾳ || [φ. 181 β] μαθόντες μηδαμῶς ἀμφιβάλοιεν. Οὐκ ὀλίγοι οὖν συνεχῶς προσιόντες αὐτῷ καὶ ὃ βούλοιντο μετ᾽ αὐτοῦ κοινολογησάμενοι, καὶ γνόντες οἵῳ συνετωτάτῳ φρονήματι ἐκοσμεῖτο καὶ διαλέξεσι πρὸς τοὺς ἐντυγχάνοντας ἄλλοις ἄλλαις πρεπωδεστάταις, χάριτός τε οἵας ἐνεπίμπλα καὶ ἡδονῆς τοὺς ἀκροωμένους αὐτοῦ, ἔτι δ᾽ ὡς οὐδεὶς οὐδὲν ἄχαρί τι ἐντεῦθεν παθὼν ἀπίοι ποτὲ εὐδαιμονίζων τὸν ἄνδρα, καὶ πολὺ τῆς φήμης ᾤοντο κρείττω· καὶ ἃ πρότερον ἀκούοντες μετ᾽ ἀμφιβολίας ἐδέχοντο, ταῦτα πείρᾳ μαθόντες, ἀναμφίβολον πίστιν τῶν λεγομένων ἐλάμβανον. Ἐπετείνετο τοίνυν ἡ φήμη ἀεί, καὶ ὅπου ἂν εἴποις ἡ ἀρετὴ ἐκείνου διάδηλος ἦν. Εὖ γὰρ εἰδὼς ὡς οὔτε λαμπρότης βίου, οὔτε μόνη περιφάνεια γένους, οὔτε πλοῦτος βαθύς, οὔτ᾽ ἄλλο τῶν ὄντων οὐδὲν αὐτὸ καθ᾽ αὐτὸ γένοιτ᾽ ἂν ἀρετῇ ἴσον, ἤσκεῖτο ἐκ παίδων εὐθύς, καὶ διὰ βίου παντὸς αὐτῆς οὐκ ἀφίστατο. Ἆρ᾽ οὖν τούτοις μόνοις προσεῖχε τὸν νοῦν, βασιλέα δηλαδὴ θεραπεύειν, καὶ πάνθ᾽ ὑπουργεῖν ἐκείνῳ, ὅσα δὴ βούλοιτο τοῖς πράγμασι λυσιτελεῖν (4), ἐπιμελέστατα ζητῶν (5), εὖ πρὸς πάντας ἐπίσης φερόμενος, ἐξ ἐντεῦθεν εὔκλειαν θηρῷτο, ἣν εἰκὸς τὸν ἐπὶ τοῖς βιωτικοῖς ἤδη || [φ. 182 α] καταγινόμενον. Εὖ μὲν καὶ τούτων ἐπεμελεῖτο, καὶ ὡς ... ρῆν ὑπὲρ αὐτῶν τῶν πραγμάτων, ἀλλὰ δὴ προὔργου (6) ἐτίθει, καὶ

(1) Χειρ. μετίασιν.
(2) Χειρ. ἐκπορίαν.
(3) Χειρ. αὐτά.
(4) Χειρ. λυσιτελοῦν.
(5) Χειρ. ζητεῖν.
(6) Χειρ. δὲ προὔργον.

θειοτέραν ἐπιμέλειαν ἐπεδείκνυτο ἤδη περὶ ἐκεῖνα. Ὁ γὰρ ὑπὸ πάντων ἐπαινούμενός τε καὶ θαυμαζόμενος αὐτοῦ βίος τῇ πρὸς θεὸν ἀγάπῃ καὶ πίστει καλῶς σφόδρα ὠχυρωμένος (1) μαρτυρεῖ διαρρήδην, ὡς οὔτε βασιλέως ἐγγύτης, οὔτε πλοῦτος, οὔτ' εὔκλεια, οὔτ' ἄλλο τῶν ὄντων οὐδὲν ἐκεῖνον τῆς πρὸς θεὸν ἐπιστροφῆς εἰς ὀλιγωρίαν ἐκίνησεν· ἀλλ' ὁ πρὸς αὐτὸν ἔρως καὶ ἡ ἐκ ψυχῆς ἔφεσις δεύτερα πάντα ἡγεῖσθαι ἐποίει καὶ πρὸς οὐδὲν ἐκπτοεῖσθαι τῶν ἀνθρωπίνων. Ἔδειξε δὲ ταῦτα οὐδὲν ἧττον καὶ ἣν εἶχε σπουδὴν θείους ναοὺς ἐπισκέπτεσθαι συνεχῶς καὶ τοὺς ἐν αὐτοῖς ἀσκουμένους καὶ καταμένοντας ὡς ἐνῆν εὖ ποιεῖν παντὶ τρόπῳ· ἔτι δὲ καὶ ἡ πρὸς ὁσίους ἐν αὐτοῖς ἄνδρας αἰδώς, οἷς ἥδετο προςδιαλεγόμενος καὶ πάντα τὰ ὑπ' αὐτῶν δεχόμενος εὐλαβῶς.

Ἐπεὶ δὲ ἐξ ἀνθρώπων γενομένου τοῦ βασιλέως ἔδει τῇ ἀρχῇ εἰςαχθῆναι τὸν κατὰ νόμους διάδοχον, ὁ δὲ ἦν ἐν Πελοποννήσῳ, ἐνιοι τὸν μετὰ τὸν διάδοχον τοῦ βασιλέως ἀδελφὸν διανοηθέντες λάθρα εἰς τὸν βασιλικὸν θρόνον ἀναγαγεῖν, ἀφ' οὗ στάσις εἴ ποτε || [φ. 182^{β}] καὶ ἄλλοτε συστᾶσα ἔμελλεν ὀλέθρῳ ἅπαντα παραδοῦναι τελείῳ, ἐσπεύδοντο πῶς ἂν εἰς πέρας προάξαιεν τὸ ὑπ' αὐτῶν ἤδη μελετηθέν. Ἀλλ' ὁ γενναῖος ἐκεῖνος καὶ τοῦ δικαίου ἀεὶ προϊστάμενος, οὐχ ὅπλοις ἐκείνοις ἀντιφερόμενος, οὐδὲ λόγοις διαμαχόμενος, ἀλλ' ὡς τὸ προσῆκον, τῇ ἐκείνου μεγαλονοίᾳ, ᾗ τὸ πλῆθος τῆς Πόλεως πειθόμενον εἶχεν αὐτῷ ἠρέμα, τῷ διαδόχῳ ἐτήρησε τὴν ἀρχήν· ὃς ἀφικόμενος καὶ βασιλεὺς ἀναγορευθείς, ὡς ἔθος, ἦγε μέν, ὡς εἰκός, ἐν μεγίσταις τὸν ἄνδρα τιμαῖς, οἷς τε ἀντέστη τοῖς κατ' αὐτοῦ τὸν δόλον ἐκεῖνον ὑφαίνουσι καὶ πολλῷ πλέον τῆς αὐτοῦ ἀρετῆς. Συνηγωνίζετο δὲ τῷ βασιλεῖ ἀμειβόμενος καὶ μηδενὸς ὧν εἶχε φειδόμενος παντὶ τρόπῳ ζητοῦντι μηδαμοῦ τοῦ ἀδελφοῦ καὶ βασιλέως ἧττον ὀφθῆναι ἐφ' οἷς ἐκεῖνος ἐμηχανᾶτο, τὸ τοῖς πράγμασιν συνοῖσον ἐπιζητῶν, καὶ τῶν ἔξωθεν ἅμα καὶ τῶν ἐντὸς κηδομένῳ καὶ συνεπέτεινέν οἱ τὸν λογισμόν, καὶ πρεσβείας ἀπανταχοῦ πέμπειν καιρὸν ἡγουμένῳ ἄριστος ἐφαίνετο σύμβουλος ἅμα καὶ συναγωνιστής. Ἀλλ' ἐπειδὴ λόγοις, οὓς οἶδε θεός, ἔδει ταῖς ἐσχάταις ἡμᾶς περιπεσεῖν συμφοραῖς, καὶ τὸν κοινὸν ὄλεθρον φεῦ τῆς κοινῆς ἐκείνης πατρίδος καὶ τοῦ γένους ἰδεῖν, πάντα δεύτερα ἦν τοῦ σκοποῦ, καὶ || [φ. 183^{α}] πρὸς οὐδὲν ὠφελ-

(1) Χειρ. ὀχυρωμένος.

μον ἀποβαίνοντα. Ὁ γὰρ ἄρτι τότε τὴν τῶν βαρβάρων ἡγεμονίαν ἀνειληφώς, οὓς ἔφθη ὀμωμοκὼς ὅρκους ἐπὶ εἰρήνῃ παραβάς, πάντα λίθον, ὅ φασιν, ἐκίνει, ὅπως τὴν ἔτι περιλειπομένην ἀρχὴν τῶν Ῥωμαίων καθελών, ἃ μηδεὶς ἄλλος ἴσχυσέ ποτε τῶν βαρβάρων κατάρχων, αὐτὸς φανείη κατωρθωκώς, ὃ δὴ καὶ προθυμηθεὶς εἰς πέρας προήγαγεν. Ἀλλ' ἐκεῖνος μὲν οἷα μηχανησάμενος τήν τε Πόλιν ἐχειρώσατο καὶ τοὺς ἐνοικοῦντας ἐξηνδραποδίσατο, οὐδὲ βουλομένῳ μοι ῥᾴδιον διελθεῖν, εἴπερ δεινότατον ὂν τὸ πάθος πάντα λόγον συγχέει τῷ μεγέθει τῶν συμφορῶν καὶ πενθεῖν μάλιστα τὸν κοινὸν ὄλεθρον τοῦ γένους ἢ τὰ τοιαῦτα διηγεῖσθαι προτρέπεται· ἃ δὲ (1) ἀφ' οὗπερ ὁ βάρβαρος ἐφωράθη ταῦτα βουλόμενος μέχρι καὶ αὐτῆς τῆς πολιορκίας ὁ γενναῖος οὗτος ἠγώνιστο τὴν αὐτὴν εὔνοιαν ἐνδεικνύμενος τῷ τε βασιλεῖ καὶ τῇ πατρίδι καὶ τοῖς πολίταις ἥνπερ καὶ πρότερον, ὥστε τὸν ἴσον οὔπω μέλλοντα κίνδυνον ἀποκρούσασθαι τίς ἀκριβῶς παραστήσειε λόγος, ἵνα δὴ καὶ τοῖς μὴ καλῶς εἰδόσιν ἐκεῖνον ἄπιστά τε καὶ ἄξια θαύματος φαίνοιντο; Ἴσασι μέντοι ὅσοι αὐτόπται τοῦ πάθους πολῖται ἅμα καὶ ἐπήλυδες καὶ βάρβαροι, οἶμαι, αὐτοί· οὔτε γὰρ τάμείνω λυσιτελέστατα συμβουλεύων τῷ βασιλεῖ ἥττων ὤφθη τινός, τι μὴ πᾶν τοὐναντίον, οὔτε δρῶν ὅσα ὁ καιρὸς συνεχώρει βίαιος ὤν· ημηγοροῦντος δήποτε τοῦ βασιλέως περὶ χρημάτων συνεισφορᾶς (ἔδει ἀρ τούτων εἴπερ ποτὲ καὶ τότε), καὶ ποικίλῳ χρωμένου ἐπὶ τῆς συγκλήτου τῷ λόγῳ· ἔδει γὰρ ἠπίως τε καὶ οἰκονομικῶς, ἔτι δὲ προσηῶς διαλεγόμενον τὸ πρόθυμον ἐπισπάσασθαι τῶν ἀκροωμένων· ἐκεῖς ἠμείφθη τοιαῦτα εἰπών· « εἰ μὲν περί τινος ἄλλου τὸν λόγον ἐποιτο τὸ θεῖόν σου κράτος, ὦ βασιλεῦ, κἀκείνου ἕνεκα τὸν παρόντα ἴλλογον συνεκρότεις, ἔδει ἄλλου ἄλλην γνώμην ἀποφαινομένου ζηῖν τίς ἂν ἡ ἀμείνων εἴη καὶ ἅμα λυσιτελής· ἐπεὶ δὲ ὑπὲρ τῆς κοιῆς σωτηρίας ἡ σκέψις καὶ τῆς ἐκ τοῦ παρόντος κινδύνου ἀπαλλαγῆς εκα πρόκειται πόρον χρημάτων εὑρεῖν, ἄλλως δέ τοι σχεδὸν ἀδύνα-ν, εἰμή, ὡς κελεύεις, ἔρανος γένοιτο, οὐ προστάξει βασιλικῇ οὐ βίᾳ, δ' ἀκουσίως, ἀγαθῇ δὲ προαιρέσει καὶ προθυμίᾳ ἐπαινετῇ· οὐ καις ζητήσεως λοιπὸν τίς ἡ κρατοῦσα γνώμη φαίνεται τῶν λοιπῶν, τε γὰρ οἶμαι τοὺς παρόντας διαφόρους γνώμας εἰσενεγκεῖν τῆς προθειμένης || , [φ. 184ª] οὔτε μὲν (μήν;) ὡς οὐ δεῖ χρημάτων ἐν τῷ πα-

(1) Χειρ. ἃ δ' ἐν.

ρόντι αὐτοὺς ἰσχυρίσασθαι, ἀλλ' οὐδὲ τὸν τοῦ ἐράνου λόγον δέξασθαι δυσχερῶς, ἐκεῖνο καλῶς εἰδότας ὡς οὐδεὶς ἂν εἴποι τούτῳ μὲν λυσιτελήσει μεγάλως ὁ ἔρανος, τούτῳ δὲ τυχὸν οὐδαμῶς, οὐδ' ὡς ὁ μὲν πάθοι τις(1) ἀγαθὸν ἐξ αὐτοῦ, ὁ δέ, τοὐναντίον, ἀλλ' ἐπίσης πάντες. Καὶ τοῦτ' ἀποδείξεως οὐδεμιᾶς δεῖται σαφῶς· εἴπερ πρόδηλον ὡς ὁ κίνδυνος πᾶσι κοινός, ἡ μὲν ἐκ θεοῦ βασιλεία σου εὐμενέστατα πάνυ καὶ ὡς ἐχρῆν πάντας ὑπεξέθου τρόπους τοὺς δυνατούς, εἴτις ἄρα καὶ ἀπρόθυμος εἴη ῥᾳδίως αὐτὸν μεταβαλεῖν· καὶ τὸ μεῖζον ὅτι κελεύεις κατὰ τὴν ἑκάστου προαίρεσιν γενέσθαι τὸν ἔρανον· ἐπεὶ δὲ πολλοὺς οἶδα καίπερ προθυμουμένους, βουλομένους ὅμως ἄλλοθέν ποθεν ἔσεσθαι τὴν ἀρχὴν τοῦ ἐράνου, ἐμὲ δὲ εἶναι τὸν πρῶτον τοῦτο ποιήσοντα, οὐδένα λόγον ἔχοντα ὁρῶ μὴ ποιῆσαί με τὸ τούτοις δοκοῦν.»

Τούτοις ὑπερησθεὶς ὁ βασιλεὺς καὶ ὡς ἐχρῆν τὸν ἄνδρα τῆς προθυμίας ἀποδεξάμενος, πέρας τε τῷ συλλόγῳ ἐκείνῳ ἐπέθηκε, κἀκείνου ὅπερ ἔφη ταχὺ καὶ πρώτου πάντων ποιήσαντος ἐπίσης εἶχε πάντας τοὺς λοιποὺς τοῖς ὑπ' αὐτοῦ κελευσ || [φ. 184β] μένοις πείθεσθαι. Ὅσα τοίνυν ἀγωνιζόμενος ἅμα τῷ βασιλεῖ καὶ αὖ ἰδίᾳ πρὸς σπουδὴν ἐφελκόμενος πάντας καὶ προθυμίαν ὧν ἡ Πόλις τότε ἐδεῖτο ἐφαίνετο δρῶν, περίεργον οἶμαι διηγεῖσθαι, μὴ ὅτι γε τῶν πολιτῶν ἀγνοούντων, ἀλλὰ καὶ τῶν ὅσοι ἐπήλυδες ἔτυχον ὄντες, σχεδὸν καθεκάστην ὁρῶντες αὐτά. Πλὴν ἔμελλε δεύτερα πάντα φανῆναι καὶ πολλῷ ἥττω καὶ ἀσθενέστερα τῆς τοῦ βαρβάρου ἰσχύος, καὶ ἡμᾶς ταῖς ἐσχάταις διὰ ταῦτα ἐχρῆν περιπεσεῖν συμφοραῖς· ὅ(2) γὰρ πάλαι ὁ χρόνος ὠδίνων ἠπείλει τοῦτο καὶ τεκεῖν ἦν ἀνάγκη, τοῦ βαρβάρου μεγίστην καὶ δεινοτάτην ποιουμένου τὴν πολιορκίαν. Ὡς οὖν <οὐκ> ἀντέχειν ἡ Πόλις ἠδύνατο, τοῦτο μὲν τῷ στρατεύματος πλήθει, τοῦτο δὲ τῇ ποικιλίᾳ τῶν μηχανῶν καὶ ἑλεπόλεων, καὶ δῆτα ἑάλω, τίς ἂν διηγήσαιτο λόγος τὸ μέγεθος ἐκείνης τῆς συμφορᾶς καὶ ὃν ὄλεθρον τηνικαῦτα ὑποστὰν ἐφάνη τὸ γένος Ῥωμαίων; οὐ μὴν ἀλλὰ πάντ' ἐφεξῆς καταστρεφομένου ἅττ' ἂν προμηθείη σχεδὸν τοῦ βαρβάρου, κινδυνεύει μηδὲν τῶν ἐθνῶν ἔξω εἶναι κινδύνου καὶ φόβου, ἅτε μηδ' ἐξισοῦσθαι δυνάμενον τῇ ἐκείνου δυνάμει τε καὶ ἀρχῇ.

Τῆς Πόλεως μέντοι ἁλούσης, καὶ φόνου ἀμέτρου καὶ ἀνδραποδι-

(1) Χειρ. τίς.
(2) Χειρ. ὁ.

σμοῦ γενομένου, τὸν ἄνδρα τοῦτον ὅμως ἐτήρησεν ἡ πρόνοια τοῦ θεοῦ μὴ θανεῖν, ἵν' ἐκδηλοτέρα γένοιτο πᾶσιν ἡ ἀρετὴ ἐκείνου καὶ ὅν εἶχεν ἐκ παίδων ἔρωτα πρὸς τὸν θεόν, ὡς μηδὲ τοῦ ζῆν αὐτοῦ φείδεσθαι τοῦ πᾶσιν ὄντος ἀνθρώποις ἐπεράστου. Ὁ βάρβαρος τοίνυν μετὰ σπουδῆς τὸν ἄνδρα ζητήσας, τὸ μέγεθος τῆς ἐκείνου ἀξίας αἰδούμενος, ὡς εἰκός. ἐπεὶ ἔγνω ζῶντα, ταχὺ κελεύει ἀχθῆναι· καὶ ἰδών, πᾶσαν ὠμότητα βαρβαρικὴν ἀποθέμενος, προσηνέσι λόγοις ἐχρῆτο καὶ δωρεαῖς πρὸς αὐτὸν οὐκ ὀλίγαις, καὶ ἐπαγγελίαις μεγίσταις, αἳ καὶ αὐτοὺς βαρβάρους ἐξέπληξαν. Ἀλλὰ ταῦτα ἐπιπολὺ διαμένειν οὐχ οἷόν τε ἦν, οὔτε τῆς βαρβαρικῆς ἐκείνου φύσεως μεταβολήν τινα δέξασθαι δυναμένης, οὔτε μὴν τοῦ θεοῦ συγχωροῦντος τὸν ὄλεθρον τοῦ γένους αὐτὸν καὶ τῆς πατρίδος ὁρᾶν καὶ ταύτην φωναῖς ἀσεβέσι μιαινομένην, καὶ πολιτείᾳ καὶ ἤθεσι δουλεύουσαν βαρβάροις προσήκουσιν. Ἐπεὶ τοίνυν ὁτῳδήποτε τρόπῳ θανεῖν προσέταξε τοῦτόν τε καί τινας ἄλλους τῶν ἐπιφανῶν ἀνδρῶν σὺν αὐτῷ, ἀπῄει μὲν ἀγῶνα τρέχων οὐκ ἐλάττω καρτερικοῦ, ἢ γὰρ ἂν καὶ κρεῖττον ἢ ὡς ἄν τις ἤλπισεν ἄν, καὶ τὸν πρὸς Χριστὸν ἔρωτα ἔδειξε καὶ τὸν πρὸς ἁγίους μάρτυρας ζῆλον, εἴτις αὐτῷ περὶ εὐσεβείας ἠνόχλει, καὶ φειδὼ μηδεμιᾶς βασάνου καὶ τιμωρίας ἐποίησεν, ἔχαιρε δὲ καὶ ἠγαλλιᾶτο ἀντὶ τούτου τοῦ ἐπικήρου βίου τὸν ἀΐδιον ἐκεῖνον μέλλων βιοῦν. Ὡς δὲ ὁ δήμιος ἤδη παρὼν τὸ πρόσταγμα τοῦ τυράννου βαρβάρου ἐζήτει ποιεῖν, τό τε ξίφος ἔφερε τῇ χειρὶ καὶ ἀνελεῖν ἕτοιμος ἦν αὐτὸν ἅμα καὶ τοὺς παῖδας· ὡς δὲ ἕνα τούτων ἑώρα πρὸς τὸν θάνατον ἀποδειλιῶντα καὶ δέει, ὥσπερ εἰκός, κατεχόμενον, πρὸς μὲν τὸν δήμιον (ὢ γενναιοτάτης ἐκείνης ψυχῆς! ὢ φρονήματος σταθηροτάτου καὶ μυρίων ἐπαίνων καὶ θαυμάτων ἀξίου!) « ἐπίσχες, ἔφη, μικρόν », πρὸς δὲ τὸν ὀκνοῦντα καὶ δεδιότα υἱόν· « ποῦ σου, ἔλεγε, φίλτατε, ἡ πρὸς τὸν πατέρα αἰδώς; ποῦ ἡ στοργὴ καὶ διάθεσις; ποῦ αἱ πολλαὶ ὑποσχέσεις, ἃς ὑπέσχου πολλάκις, ὑπὲρ ἐμοῦ προθύμως ἀποθανεῖν; ποῦ τὸ φίλτρον; ποῦ τίθης τὴν μαρτυρίαν τῶν ἀκουσάντων σου ταῦτα; ἢ τοὺς ἀνθρώπους μόνον ὑπολαμβάνεις ἐκεῖνα ἀκηκοέναι, θεὸν δὲ μὴ εἰδέναι, μηδὲ παρὰ σοῦ τὴν ὑπόσχεσιν, ἥν μοι πολλάκις ὑπέσχου, ζητεῖν ἐν τῇ τῆς φρικτῆς αὐτοῦ παρουσίας ἡμέρᾳ; ποῦ πατρίς, τέκνον; ποῦ περιφάνεια γένους; ποῦ βασιλεία Ῥωμαίων; ποῦ ἠθῶν εὐκοσμία, καὶ σεμνότης καὶ εὐταξία; οὐχ ὁρᾷς ὡς ἀπόλωλε πάντα; Φρόνημα τοίνυν εὐστα-

θὲς καὶ γενναῖον καί σοι προσῆκον ἀναλαβών, φάνηθι θανάτου καταφρονῶν. Ἐγγὺς ὁ κοινὸς δεσπότης· ἀμείψεταί σε δωρεαῖς ἀγαθαῖς τὰς πρὸς ἐμέ σου τὸν πατέρα ὑποσχέσεις ἀποπληροῦντα». Τοιαῦτα εἰπών, καὶ τὸ τοῦ νέου φρόνημα νεανικὸν καὶ ἀπτόητον καταστήσας, «τούτους, φησὶ τῷ δημίῳ, πρότερον ἀνελών, ὕστερον ἐμὲ δράσεις ταὐτά». Ὦ θείας καὶ μεγαλοπρεποῦς ἐκείνης ψυχῆς! ὢ γενναιότητος! ὢ φιλοτεκνίας! ὢ πατρικῆς διαθέσεως! Συνεφείλκετο καὶ τοὺς παῖδας ἀποθανεῖν, ἢ ζῶντας καταλιπεῖν καὶ ἀντὶ τῆς εὐσεβείας ἄλλο τι βουλεύσασθαι, δεδιώς, ὡς ἔοικε, μήπως φανείη κἂν τῷ τέλει τοῦ βίου τῆς ἐκείνων κηδεμονίας ὀλιγωρῶν. Ὡς οὖν ἐκεῖνος πρῶτον ἀνεῖλεν ὁρῶντος ὁ δήμιος, «δόξα σοι, χαίρων εἶπε, Χριστὲ βασιλεῦ, καὶ τὰς χεῖρας ἀνατείνας μετὰ δακρύων, δέξαι μου, ἔλεγε, τὴν ψυχήν, καὶ δώρησαί μοι τὸ μέγα σου ἔλεος, καὶ δεῖξόν με κληρονόμον || [φ. 186β] τῶν σῶν ἀγαθῶν καὶ μέτοχον ἐκείνης τῆς μακαρίας ζωῆς». Εἶτα, τῷ δημίῳ νεύσας, τὸ μακάριον τέλος ἐδέξατο. Τίς τοίνυν ὑπόθεσιν κρείττω πρὸς εὐφημίαν ζητήσειεν ἄν; τίς οὐκ ἂν ἀρκοῦσαν αὐτὴν ὑπολάβοι, εἰ καὶ μηδὲν ἄλλο τεκμήριον εἶχε τῆς αὐτοῦ ἀρετῆς; τίς γενναιότερον καὶ θειότερον φρόνημα καὶ πρὸς θεὸν ὅλως τεῖνον ἐνδείξαιτο; οἶμαι γὰρ εἰ καὶ μηδὲν τῶν ἐπιτετηδευμένων αὐτῷ ἱκανῶς εἶχε παροτρύναι τὸν τοὺς τοιούτους θαυμάζοντα τὴν ἡρωϊκὴν ἐκείνου καὶ θείαν κοσμῆσαι ψυχήν, τοῦτο καὶ πρῶτον καθ' αὑτὸ καὶ μεῖζον καὶ τελευταῖον καὶ ἀντὶ πάντων τῶν ἄλλων ὑπάρχειν. Οὐδ' ἐκεῖνό μοι ὅλως ῥητέον δοκεῖ ὡς ὑπ' ἀνάγκης, οὐ γὰρ ἦν δυνατὸν τὸ θανεῖν ἐκφυγεῖν, ταῦτα ἐπεποιήκει· τοὺς μὲν γὰρ ἄλλον τινὰ βίον αἱρουμένους καὶ μετιόντας οὐκ ἀπεικὸς τοῦτο παθεῖν, κἂν ἐν τῷ τέλει πραγματευομένους τὸ πρὸς ἔπαινον αὐτῶν ἀφορῶν· οὗ δὲ ἅπας ὁ βίος ἐκεκόσμητο σωφροσύνῃ καὶ ταῖς λοιπαῖς ἀρεταῖς, μάλιστα δὲ τῷ πρὸς θεὸν ἔρωτι καὶ ταῖς ἀεὶ πρὸς τοὺς δεομένους εὐποιίαις, τίς ἡμᾶς ἀναπείσειεν λόγος τοιαῦτ' οἴεσθαι περὶ τῆς θείας ἐκείνης ψυχῆς; τοὐναντίον δέ, εἰ μὴ τοιούτοις || [φ. 187α] ἐν τῷ τέλει ἐχρήσατο, οὐδ' ἂν ἀναμφίβολος ἴσως ὁ θεοφιλὴς ἐκείνου βίος ἐδόκει τοῖς γε ἀκούουσι· νῦν δὲ πᾶσαν τὴν περὶ ἐκείνου ἀμφιβολίαν σαφῶς ἀπελᾷ τὸ τοιαῦτα ἐν τῷ τέλει ἐνδείξασθαι καὶ ὅτι βίον ὁποῖον ἔφημεν ἐβεβιώκει, ἔδει πάντως καὶ τοιαύτην ἐνδείξασθαι γενναιότητα, ἣν ᾐδέσθη καὶ ὁ βαρβαρικὸς τότε θυμὸς καὶ πάντες εἰκότως ἐν θαύματι ἄγουσιν.

ΜΑΤΘΑΙΟΥ ΒΑΣΙΛΕΩΣ ΤΟΥ ΚΑΝΤΑΚΟΥΖΗΝΟΥ

Λογοι Ανεκδοτοι Δυο

ΥΠΟ

Ι. ΣΑΚΚΕΛΙΩΝΟΣ

Μεταξὺ τῶν ἐκ τῶν κατὰ τὴν Θεσσαλίαν ἱερῶν μονῶν ἀποκομιθέντων εἰς τὴν ἐθνικὴν βιβλιοθήκην χειρογράφων βιβλίων εὕρηται αἱ ἕν, ὅπερ σχήματος ὂν 8ου καὶ ἐκ φύλλων 103 συγκείμενον, καὼς δὲ γεγραμμένον περὶ φθίνουσαν τὴν ΙΗ' ἑκατονταετηρίδα, ερiέχει τὰ ἑξῆς:

Φύλ. 1-60. *Ἐπιτομὴν τῶν ἱερῶν καὶ θείων Κανόνων. Γέγονε ἡ παρὰ τοῦ πανσεβάστου σεβαστοῦ νομοφύλακος καὶ κριτοῦ Θεσαλονίκης κυροῦ Κωνσταντίνου τοῦ Ἁρμενοπούλου.* (Ἔστι δὲ ὁ κοιῶς γνωριζόμενος Νομοκάνων.)

Φύλ· 61-63. Ἄγραφα.

Φύλ. 64. *Περὶ βιβλίων τῆς θείας Γραφῆς γνησίων καὶ νόθων.*

Φύλ. 65-90. *Ἐρωτήσεις τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανκείας κυροῦ Μάρκου, καὶ ἀποκρίσεις ἐπ' αὐταῖς τοῦ ἁγιωτάτου πακάρχου Ἀντιοχείας κυροῦ Θεοδώρου τοῦ Βαλσαμών*, κτλ.

Φύλ. 91-96. *Τοῦ Βλεμύδου* (sic) *κυροῦ Νικηφόρου Προοίμιον ς τὸν Ψαλτῆρα.*

Φύλ. 97. Ἄγραφον.

Φύλ. 98-102. *Τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ Ματθαίου τοῦ ντακουζηνοῦ Λόγον περὶ φιλομαθίας εἰς τὴν αὐτοῦ θυγατέρα ρὰν Θεοδώραν τὴν Καντακουζηνήν.*

Φύλ. 102-103. *Τοῦ αὐτοῦ βασιλέως κυροῦ Ματθαίου τοῦ Καναχουζηνοῦ εἰς τὴν ἑαυτοῦ θυγατέρα κυρὰν Θεοδώραν τὴν Καντακουζηνὴν περὶ τῶν τριῶν τῆς ψυχῆς δυνάμεων.*

Ταῦτά εἰσι τὰ ἐν αὐτῷ περιεχόμενα. Ἀλλὰ τοῦ δευτέρου Λόγου ῦ Ματθαίου ἡ συνέχεια δυστυχῶς κεκολόβωται ὑπὸ χειρὸς βεβή-υ, πέντε καὶ ἥμισυ τετράδια ἤτοι 44 φύλλα ἀποσπασάσης ἐκ τοῦ

τέλους τοῦ βιβλίου, ἐν οἷς τίς οἶδεν ὁποῖα ἄλλα περιείχοντο λόγου ἄξια εἴτε αὐτοῦ τούτου τοῦ Ματθαίου εἴτε ἑτέρου τινός.

Τῶν Καντακουζηνῶν ὁ οἶκος ὑπῆρχεν ἐκ τῶν ἀρχαιοτέρων καὶ τῶν εὖ γεγονότων τῆς Κωνσταντινουπόλεως. «*Οἱ εὐγενεῖς Καντακουζηνοὶ*» λέγει ὁ ἱστορικὸς Γεώργιος Παχυμέρης (1). Ὁ δὲ πρῶτος, ὃν ἐξ ἱστορίας γινώσκομεν, καὶ οἱονεὶ ὁ γενάρχης τοῦ οἴκου τούτου, ἤκμαζε περὶ τελευτῶσαν τὴν ΙΑʹ ἑκατονταετηρίδα, εὐδοκίμως ἐν διαφόροις μάχαις ἀγωνισάμενος κατὰ τῶν ἐχθρῶν τοῦ βυζαντινοῦ κράτους ἐπὶ Ἀλεξίου Αʹ τοῦ Κομνηνοῦ (2). Ὁ τοίνυν Ματθαῖος, περὶ οὗ ὁ λόγος, υἱὸς ἦν πρωτότοκος τοῦ ἐν ἔτει 1341–55 αὐταρχήσαντος Ἰωάννου τοῦ Καντακουζηνοῦ, ἀνὴρ παιδείας εὖ ἥκων, ὡς τὰ περιλιπόμενα τῶν συγγραφέντων αὐτῷ μαρτυροῦσι. Σύζυγον δ' ἔσχεν Εἰρήνην θυγατέρα τοῦ δεσπότου Δημητρίου Παλαιολόγου υἱοῦ τοῦ αὐτοκράτορος Ἀνδρονίκου τοῦ νεωτέρου, ἐξ ἧς ἐγέννησε τὴν πρωτότοκον αὐτοῦ θυγατέρα Θεοδώραν, πρὸς ἣν καὶ προσφωνεῖ τοὺς ἀνωτέρω σημειωθέντας νῦν δ' ἐκδιδομένους δύο Λόγους. Τὴν Θεοδώραν ἀνέθρεψε καὶ ἐξεπαίδευσεν ἡ πρὸς πατρὸς προμήτωρ αὐτῆς Εἰρήνη, ἡ πρὸς τὸ μοναχικὸν σχῆμα τὴν βασιλικὴν ἀμείψασα πορφύραν καὶ Εὐγενία μετονομασθεῖσα, ἥτις ἐμόναζεν ἐν τῇ μονῇ τῇ ἐπικαλουμένῃ *Τῆς Μάρθας*, τῷ βασιλεῖ Ἰωάννῃ Καντακουζηνῷ ἐκ πατρῴου κλήρου διαφερούσῃ (3).

Ταῖς τοῦ πατρὸς ἐνεργείαις βασιλεὺς ἀναγορευθεὶς ὁ Ματθαῖος, συγκατανεύσει (ἀέκοντί γε θυμῷ) καὶ τοῦ νομίμου αὐτοκράτορος Ἰωάννου Βʹ τοῦ Παλαιολόγου (1341–91), τοῦ καὶ γαμβροῦ αὐτοῦ ἐπ' ἀδελφῇ, ἐστέφθη ἐν τῷ ναῷ τῶν Βλαχερνῶν ὑπὸ τοῦ πατριάρ-

(1) Τόμ. Αʹ, σελ. 65.

(2) Ἄν. Κομν. *Ἀλεξιάδ.* ΙΑʹ-ΙΓʹ.

(3) Καντακουζ. Δʹ, μβʹ καὶ μεʹ, σελ. 877 καὶ 892. — Νικηφ. Γρηγορ. ΙΘʹ, ιεʹ, σελ 244. Ἦν δὲ ἡ Μάρθα, ἡ πρὶν ἢ ἀποκαρῇ μοναχὴ Μαρία καλουμένη, ἀδελφὴ μὲν Μιχαὴλ Ηʹ τοῦ Παλαιολόγου, σύζυγος δὲ τοῦ μεγάλου δομεστίκου Νικηφόρου τοῦ Ταρχανειώτου, ὃν *στρατιώτην καλὸν καὶ ἀγαθὸν στρατηγὸν* καλεῖ ὁ Ἀκροπολίτης [ιεʹ, σελ. 60. — Πρβλ. καὶ Παχυμ. εἰς *Μιχ. Παλαιολ.* Αʹ, ιβʹ, σελ. 33, καὶ Δʹ, πζʹ-λʹ, σελ. 292-6.]. Ἄδηλον δὲ ποῦ ἔκειτο ἡ ἐπώνυμος αὐτῇ μονή· ἀλλὰ τὰ ὑπὸ τοῦ ἐλλογίμου φίλου Β. Α. Μυστακίδου σημειούμενα ἐν σελ. 10-13 τῶν σπουδαίων *Περὶ Κουρούτσεσμε Ἱστορικῶν Εἰδήσεων* αὐτοῦ, τῶν ἔναγχος ἐν τῇ *Ἐκκλησιαστικῇ Ἀληθείᾳ* καὶ ἐν ἰδίῳ τεύχει ἐκδοθεισῶν, πολλὴν παρέχουσι τὴν πιθανότητα ὅτι ἔκειτο κατὰ τὸν Ἀνάπλουν, καὶ δὴ ἐν αὐτῷ τῷ προαστείῳ Ξηροκρήνῃ (*Κουρούτσεσμε*).

γου Φιλοθέου. Μετ' οὐ πολὺ ὅμως φωραθεὶς ὡς συνωμοσίαν κατὰ τοῦ αὐτοκράτορος τεκταινόμενος μετ' ἄλλων τινῶν Βυζαντίων, συλλαμβάνεται· καὶ πρῶτα μὲν ἐν διαφόροις περιορίζεται τόποις, εἶτα δ' ἐξαναγκάζεται τὴν βασίλειον ἀποθέσθαι ἀξίαν ἐνώπιον τοῦ αὐτοκράτορος καὶ τῶν βασιλίδων, συμπαρισταμένων τῶν τε συγκλητικῶν καὶ τῶν πατριαρχῶν Καλλίστου Κωνσταντινουπόλεως καὶ Λαζάρου Ἱεροσολύμων σὺν τῷ λοιπῷ κλήρῳ. Ἐπὶ τέλους δὲ τὸ μοναχικὸν ὑποδυθεὶς τριβώνιον ἀνεχώρησεν εἰς τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθω, ἔνθα εἰς τὸ συγγράφειν ἐπέδωκεν ἑαυτόν. Ἐκ τῶν συγγραφέντων δ' αὐτῷ γνωστόν ἐστι τὸ εἰς τὸ *Ἆσμα Ἀσμάτων* τοῦ Σολομῶντος *Ὑπόμνημα* αὐτοῦ, ὃ πρῶτος ἐξέδωκε Βικέντιος ὁ Ῥικάρδος ἐν Ῥώμῃ τῷ 1624, ἐξ αὐτοῦ δὲ καὶ ὁ Migne ἐν τόμῳ ΡΝΒ', σελ. 997 ἐφ. τῆς *Ἑλληνικῆς Πατρολογίας*. Πλὴν τούτου, ἐν ἀρχαίῳ τινὶ καταλόγῳ χειρογράφων τῆς ἐν Πάτμῳ σεβασμίας μονῆς, ὑπὸ τοῦ περικλεοῦς καρδινάλεως Ἀγγέλου Μαΐου δημοσιευθέντι ἐν τόμῳ ϛ' τῆς *Νέας Βιβλιοθήκης τῶν Πατέρων* (*Bibliotheca Nova P.P.*) ἐκ τοῦ ὑπ' ἀριθ. 1205 οὐατικανείου κώδικος, μνημονεύεται ἐν ἀριθ. Θ' καὶ *Ἐξηγήσεις* τοῦ αὐτοῦ αὐτοῦ Ματθαίου *εἰς τὴν Σοφίαν Σολομῶντος* (1), ἥτις ὅμως οὐκ ἀπεσώθη ἄχρις ἡμῶν. Συνέγραψε προσέτι καὶ

(1) Ὁ περὶ οὗ ὁ λόγος κατάλογος, ὃν καὶ ὁ Migne μετείληφεν ἐν τόμῳ ΡΜΘ', σελ. 1048 τῆς *Ἑλληνικῆς Πατρολογίας*, ἐπὶ τῆς βασιλείας Ἰωάννου τοῦ Παλαιολόγου 1355) γενόμενος φέρει ἐπιγραφὴν τοιάνδε: «*Πίναξ τῶν ἐν τῇ σεβασμίᾳ μονῇ τῆς νήσου Πάτμου ἀξιολογωτέρων εὑρισκομένων βιβλίων*», καὶ περιλαμβάνει ΝΗ' μόνον τεύχη. Ἐν δὲ ἀριθ. ΝΕ' τέτακται καὶ τὸ ἑξῆς: «*Λόγοι Σωκράτους, ὧν ἡ ἀρχή· Εὐθύφρων ἢ περὶ ὁσίου. — Τί νεώτερον, ὦ Σώκρατες· ἄχρι τοῦ: Μένων ἢ Περὶ ἀρετῆς. — Ἔχεις μοι εἰπεῖν*». Τοῦτο δέ ἐστι τὸ περίπυστον χειρόγραφον τῶν Πλάτωνος Διαλόγων μετὰ Σχολίων, τὸ καὶ ἀρχαιότερον πάντων τῶν σωζομένων ἀντιγράφων τοῦ θείου φιλοσόφου, ὅπερ συληθὲν τῷ 1801 ἐκ τῆς μοναστηριακῆς βιβλιοθήκης ὑπὸ τοῦ Ἄγγλου Ἐδουάρδου Κλαρκίου (Clarke) τεθησαύρισται νῦν ἐν τῇ τοῦ Ὀξωνίου βοδληϊανείῳ βιβλιοθήκῃ. Ἔστι δὲ σχήματος τετάρτου μεγάλου, μήκους μὲν 0,34, πλάτους δὲ 0,23 γ.μ., ἐκ φύλλων 420 συγκείμενον, ἐν τέλει δὲ φέρον τήνδε τὴν σημείωσιν: «*Ἐγράφη χειρὶ Ἰωάννου καλλιγράφου εὐτυχῶς Ἀρέθᾳ διακόνῳ Πατρεῖ νομισμάτων βυζαντίων δέκα καὶ τριῶν, μηνὶ Νοεμβρίῳ, ἰνδικτιῶνος ιδ', ἔτει κόσμου ,ϛυδ' (+ 895), βασιλείας Λέοντος τοῦ φιλοχρίστου υἱοῦ Βασιλείου τοῦ ἀειμνήστου*». Δικαίαν ἀγανακτήσεως κραυγὴν ἔρρηξεν ὁ ἀοίδιμος Κοραῆς ἐν τῇ *Ἀκολουθίᾳ τῶν Αὐτοσχεδίων στοχασμῶν* αὐτοῦ [Ἰσοκρ. τόμ. Α', σελ. λε'] ἐπὶ τῇ ἀπαλλοτριώσει τοῦ ἀτιμήτου τούτου κειμηλίου τῆς ἀρχαιότητος· ἀλλ' ἐκ τοῦ ψυχικοῦ αὐτοῦ ὀρασμοῦ παρενεχθεὶς ὁ φιλόπατρις ἀνήρ, ἀδικωτάτην ἐξετόξευσε μομφὴν κατὰ τῶν ἐν Πάτμῳ καὶ Ἄθῳ ἀνθουσῶν τὸν τότε χρόνον ἑλληνικῶν σχολῶν ἐν οἷς λέγει: «*Καὶ*

Παραινέσεις Σωτηρίους (*Monita Salutaria*) κατὰ Φαβρίκιον (1), κατὰ δὲ Καβαῖον (2) *Μοναστικὰς* (*Solitaria*), μήπω εἰς φῶς προελθούσας. Τῶν δὲ προκειμένων Λόγων οὐδαμοῦ, ὅσον ἐγὼ οἶδα, γίνεται μνεία. Τούτου δὲ ἕνεκα καὶ δημοσιεύων αὐτοὺς παρίημι τοῖς φιλοσοφοῦσι τὴν περὶ τῆς ἀξίας αὐτῶν κρίσιν.

ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΒΑΣΙΛΕΩΣ

ΚΥΡ ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΚΑΝΤΑΚΟΥΖΗΝΟΥ

ΛΟΓΟΣ ΠΕΡΙ ΦΙΛΟΜΑΘΙΑΣ ΕΙΣ ΤΗΝ ΑΥΤΟΥ ΘΥΓΑΤΕΡΑ ΚΥΡΑΝ ΘΕΟΔΩΡΑΝ ΤΗΝ ΚΑΝΤΑΚΟΥΖΗΝΗΝ

Παιδεία, καὶ λόγος, καὶ ἀρετὴ μέγα τι χρῆμα καὶ στεῤῥὸν περιτείχισμα τοῖς ταῦτ' ἔχουσι γίνεται· διὸ καὶ πάντας χρῆναι μεταδιώ-

ὅμως αἱ δύο πηγαὶ τῶν καλῶν τούτων γραμματικῶν ἐγύμνωσαν ὅλην τὴν Ἑλλάδα ἀπὸ τὰ πολύτιμά της ἀντίγραφα, καὶ ἐπρόδοσαν εἰς ἔθνος ἀλλότριον, διὰ πολλὰ ὀλίγον ἴσως ἀργύριον, τὰ προγονικὰ κτήματα». Ἀλλὰ πρὸς Θεοῦ! ὁ Ἄγγλος περιηγητὴς ἐσυλαγώγει τὰς μοναστηριακὰς βιβλιοθήκας, εὐθύνονται δὲ διὰ τοῦτο αἱ μακρὰν τῶν μονῶν κείμεναι δύο ἐκεῖναι περίδοξοι τοῦ γένους σχολαί;! Ἐν τούτῳ δὲ τοῦ λόγου γενομένου, δέον τὴν μέχρι τοῦ νῦν ἀγνοουμένην ἀλήθειαν τοῦ πράγματος ἐξειπεῖν. Καὶ δὴ λέγομεν, ὅτι οἱ κατὰ τὰς πονηρὰς ἐκείνας καὶ βαρυστόνους ἡμέρας τῆς τοῦ τουρκικοῦ κράτους χώρας περιηγούμενοι ἐπίσημοι ξένοι, τῇ τῶν οἰκείων πρέσβεων αἰτήσει, οὐ μόνον σουλτανικῷ ἐφωδιάζοντο φιρμανίῳ, ἀλλὰ καὶ ὑπ' ἀνθρώπων τῆς ἐξουσίας τῶν καλουμένων *μουμπασιραίων* ὡς ἐπὶ τὸ πολὺ συνωδεύοντο προσωπικῆς τε ἀσφαλείας χάριν καὶ εὐχερεστέρας τῶν αἰτημάτων αὐτῶν διεξαγωγῆς. Οὕτω δὴ καὶ ὁ Κλάρκιος (καθ' ἃ ἔχω ἀκούσας ἀπὸ στόματος τῶν γεραιτέρων τῆς τοῦ Θεολόγου μοναχῶν καὶ αὐτοπτῶν γενομένων τοῦ πράγματος) εἰς Πάτμον κατάρας, καὶ τοὺς τῆς μονῆς προϊσταμένους ὁρῶν ἀνενδότως ἔχοντας πρὸς πλήρωσιν τοῦ οἰκείου ἐφετοῦ, τῇ τῶν συνοδευόντων αὐτῷ δύο τῆς ἐξουσίας ὀργάνων βίᾳ καὶ δυναστείᾳ ἐχρήσατο. Οἱ δὲ, εἰς τὴν ὑπεσχημένην αὐτοῖς γενναίαν ἀποβλέψαντες φιλοδωρίαν (τοῦτο δὴ τὸ ὑπεράγαν πεφιλημένον τοῖς Τούρκοις *μπαχτσίς*) οὐδὲν εἶχον τὸ ἐμποδὼν εἰς διάπραξιν τῆς ἱεροσυλίας, προκειμένου μάλιστα περὶ βίβλων τῶν ἀπίστων, μηδὲν ἕτερον ἀλλ' ἢ παχυλὰ περιεχουσῶν ψεύδη· κατὰ γὰρ τὰ δόγματα τοῦ μωαμεθανισμοῦ, πᾶσα ἡ ἀλήθεια ἐν μόνῳ τῷ *Κουρανίῳ* ἐστὶν ἀποτεθησαυρισμένη. Τοῦτον δὴ τὸν τρόπον ἀπεσυλήθησαν ὑπὸ τοῦ Κλαρκίου τὰ πατμιακὰ χειρόγραφα.

(1) *Biblioth. Græc.* τόμ. Ζ', σελ. 793. Harles.

(2) *Script. Eccles. Histor. Liter.* τόμ. Β', Append. σελ. 55.

κειν καὶ μὴ ῥαθυμεῖν περὶ τὰ τοιαῦτα μηδ᾽ ἀναβάλλεσθαι, ἀλλὰ σπουδάζειν καὶ σὺν ἱδρῶτι ζητεῖν ἐθέλειν ἥγημαι· ἐν πάσῃ γὰρ ὥρᾳ τε καὶ ἡλικίᾳ καὶ πράγματι χρήσιμα ταῦτα τοῖς κτωμένοις ὄντα τυγχάνει, τοὺς μὲν εὐτυχοῦντας παιδεύοντα πρὸς τὸ μὴ μέγα φρονεῖν ἐν ἱώλοις πράγμασι καὶ ῥευστοῖς, τοὺς δὲ κακῶς πράττοντας μὴ ὀλιγωρεῖν μηδ᾽ ὀργίζεσθαι, εἴπερ ἄρα κακῶς πράττουσι πεπαιδευμένοι τινὲς ὄντες καὶ λόγῳ τετιμημένοι· ψυχῆς γὰρ ἀρεταὶ τὸ δύνασθαι φέρειν πάντα μεγαλοψύχως, ὥςπερ κακία ταύτης τὸ ὀλιγωρεῖν καὶ μὴ ἀντέχεσθαι τῶν λυπούντων· οὐ γὰρ οἱ ὑγιαίνοντες καὶ μέγα πλουτοῦντες εὐδαίμονες εἰσίν, ἀλλ᾽οἱ τὴν ψυχὴν εὖ διακείμενοι· καλῶς δὲ διακείσεταί τις, εἰ μάθοι τίνα εἰσὶ τὰ καλὰ καὶ ἐπαίνων ἄξια, τίνα δὲ τὰ κακὰ καὶ φευκτά. Καὶ γάρ, ὥςπερ ἐκ φιλοπονίας πλῆθος οὐσίας, οὕτω καὶ ἐκ φιλομαθίας πλῆθος σοφίας. Διὸ ταύτην ἀσκητέον, ὦ θύγατερ, ἣ τῶν παρῳχηκότων, καὶ ὄντων, καὶ μήπω γεγενημένων παρέχει τὴν γνῶσιν. Ὁ γὰρ τἀληθῆ γινώσκων οὐκ ἂν ἐν τοῖς ἔργοις ἁμάρτοι ποτέ· ὁ δὲ μὴ μαθὼν τὰ χρηστά, οὐδὲν ἐργάσεται τῶν δεόντων. Καὶ γάρ, ὥςπερ ἀμαθία κυβερνήτου ἑαυτὸν καὶ τοὺς ἐπιβάτας σὺν τῷ σκάφει καταποντίζει ἐν μέσῳ πελάγει, οὕτω καὶ ἀμαθία ψυχῆς ἑαυτὴν καὶ τὰς ἐν αὐτῇ ἀρετὰς σὺν τῷ σώματι καταποντίζει λήθης πελάγει. Πῶς δὲ καὶ τὰ ἐπαίνων ἄξια γνώσεταί τις, εἰ μὴ διδαχθεὶς ἐν οἷσι χαίρουσιν ἄνθρωποι, καὶ ἐν τίσιν ἀηδῶς διατίθενται; καί, ὡς ἔπος εἰπεῖν, ἐκ τοῦ μανθάνειν πάντα γίγνεται τὰ καλά, ἐξ ἀμαθίας δὲ τὸ ἀνάπαλιν.

Ὅτι δὲ μέγα τι χρῆμα ἡ φιλομαθία, ἄκουε, θύγατερ, συνετῶς, καὶ μὴ κατόκνει περὶ παιδείαν καὶ μάθησιν. Τῇ αὐτοσοφίᾳ πάντως κατ᾽οὐδὲν ἐστί τι μέρος τῆς ἀμαθίας, ἀλλὰ τὰ πάντα πρὸ τοῦ γενέσθαι ἐπίσταται, καὶ μετὰ τὸ γενέσθαι γινώσκει, καὶ οἶδε σαφῶς ἑκάστου τὰ τέρματα. Ἀλλὰ τὴν φιλομαθίαν παιδεύων ἡμᾶς αὐτοῖς ἔργοις καὶ λόγοις, πρῶτον μὲν ἐνετείλατο τὰς Γραφὰς ἐρευνᾷν (1) καὶ μανθάνειν αὐτῶν τὰς ἐννοίας· εἶθ᾽ οὕτως αὐτὸς ἐζήτει μαθεῖν, ἃ οὐκ ἠγνόει, ὁπόσοι τυγχάνουσιν ὄντες ἄρτοι τοῖς μαθηταῖς (2), καὶ τίνα αὐτὸν οἱ ὄχλοι νομίζουσιν εἶναι (3), ποῦ δὲ καὶ ὁ φίλος κεκοίμηται

(1) Ἰωάν. ε΄, 39.
(2) Ματθ. ιε΄, 34.
(3) Ὁ αὐτ. ις΄, 13.

Λάζαρος (1), καὶ ἄλλα πολλά, ἃ μὴ χρείαν εἶχε μαθεῖν· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ· ἀλλὰ δῆλον, ὡς ἡμᾶς διδάσκων μὴ ταῖς ἡμῶν μόνον ἐθέλειν ἀρκεῖσθαι γνώσεσιν, ἀλλὰ μανθάνειν ζητεῖν ἀεὶ παρὰ τῶν τὰ πλείω εἰδότων· μὴ μόνον δὲ τοῦτο, ἀλλὰ καί τι μέγα μυστήριον τῷδε τῷ τρόπῳ φιλανθρώπως ἡμῖν ἀνεκάλυψεν. Εἰ μὲν γὰρ ἐν τῷ τοῖς ἀνθρώποις συναναστρέφεσθαι τὸ ζητεῖν αἱρεῖσθαι δεδήλωκεν, ἐδόκει ἂν καὶ ἐν τῷδε τῷ βίῳ τὸ συγκεχωρηκὸς ἐνορᾶσθαι μόνον τῆς μαθήσεως· ἐπεὶ δὲ καὶ μετὰ τὸ σωτήριον πάθος, καὶ τὸ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι καὶ ἀποθέσθαι τὸ ὑλικὸν πᾶν τῆς σαρκός, πάλιν ἠρώτα τοῖς μαθηταῖς(2), εἰ βρώσιμόν τι τυγχάνει παρὸν αὐτοῖς(3), καὶ συνελάβοντο ἰχθύας ἀγρεύοντες, δείκνυσι περιφανῶς, ὡς καὶ μετὰ τὸ ἀποθέσθαι τὴν ὕλην, πάλιν ἔσεται μάθησις τοῖς ἀνθρώποις. Εἰ δὲ καὶ τότε μανθάνειν ἀνάγκη, καὶ οὐχ ἅμα μαθεῖν ἔνι ὁπηνίκα καὶ τὸ παχὺ πᾶν ἀποθώμεθα τῆς σαρκός, πόσῳ γε μᾶλλον σήμερον, ὅτ' ἐφ' ἑαυτοὺς ἡλίκης ὕλης ἐπιπροσθούσης καὶ οὐκ ἐώσης ἡμᾶς καθαρῶς τὰ ὄντα γινώσκειν, ἐνδεεῖς ἐσμὲν μεγίστης χειραγωγίας; φημὶ δὴ τὴν ἐκ τοῦ φιλοπονεῖν ἐπιγιγνομένην ἡμῖν μάθησιν.

Καὶ τί χρὴ λέγειν περὶ ἀνθρώπων ἐνδεδυμένων παχυτάτους χιτῶνας σαρκός, καὶ ῥερυπωμένους ἐκ φαύλων ἡδονῶν τε καὶ πράξεων, ὅπου γε τὸ καθ' ὥραν ἡ ἄϋλος χερουβικὴ χύσις σοφίας, τῇ μαθήσει προκόπτει, καὶ καθαιρόμενοι παρ' αὐτῆς εἶναι τινὲς καὶ φωτιζόμενοι καὶ τελειούμενοι δείκνυνται. Εἰ τοίνυν τοῦθ' ἡμῶν ἐστὶ τὸ ἀξίωμα, ὅτι τῆς ἐκείνων ὀντότητος ἡμῶν ἡ ψυχὴ μετειλήφει, ζητητέον μᾶλλον καὶ κατ' αὐτὴν τὸ καθ' ὥραν μανθάνειν σπουδάζειν, πολλῷ πάντως ἀποδέουσαν τῆς ἐκείνων ἀξίας καὶ στάσεως· ἀλλὰ νῦν μὲν ὡς ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγμασιν (4), ὅταν δὲ τούτων λυθέντων λεπτότερον τὸν αὐτῆς περιβάλληται χιτῶνα, τότε καὶ τῷ ἐκείνων τρόπῳ τὰ ὄντα μαθητευθήσεται, καὶ τὴν αὐτὴν γνῶσιν ἀκριβῶς λήψεται (5) κεκαθαρμένη καὶ ῥύπων ἄτερ τυγχάνουσα· ἕως δ' ὡς ἐν δεσμωτηρίῳ τῷ σώματι νῦν διάγει, ἀδύνατον ἀΰλως εἰςδέξασθαί τι καὶ ἀμερῶς.

Ταύτῃ τοι καὶ χρεία πολλὴ τῆς ἀερίου ταυτησὶ προφορᾶς, ἵν' ὅπως

(1) Ἰωάν. ιά, 11.
(2) Γρ. *Τοὺς μαθητάς.*
(3) Λουκ. κδ', 41.
(4) Α' Κορινθ. ιγ', 12.
(5) Τὸ χειρόγρ.: *Ψήλεται.*

τὸ ἀγνοούμενον ἐκ τῶν ἑτέρων μανθάνωμεν λόγων τῇ μεταδόσει. Ὁ γὰρ μὴ ἐνταῦθα τὸν ἐνόντα τρόπον μαθών, μετ' ἀγνοίας εἰς τὸν ἐκεῖσε βαδιεῖται τόπον· ὃς δ' ἀπὸ τῶν ὧδε μετὰ παιδείας ἀφίκηται, φανερὸν ὅτι ῥᾳδίως ἐκεῖ καὶ τὰ τέλη μαθήσεται. Τοῦτο δὴ καὶ ὁ πατριάρχης ἡρμήνευσεν Ἀβραάμ, τοῦ Κυρίου παραβολικῶς ἐκφωνήσαντος: «*ἀκουσάτωσαν Μωϋσέα καὶ τοὺς προφήτας*» (1), οὐδὲν ἄλλο πάντως γε διὰ τούτου παιδεύων τοῦ λόγου ἢ τὸ ἐνταῦθα μανθάνειν χρῆναι μελετᾶν, καὶ μὴ σκοπεῖν ἠμεληκότας τῆς σωτηρίας ἐκεῖσε μαθεῖν, ἢ βραχέα ἄττα μαθόντας ἀρκεῖσθαι καὶ μὴ πρόσω χωρεῖν ζητεῖν. Ὅτι δ' οὐκ αἰσχύνη τὸ πρᾶγμα, οὐδ' ἀλλόκοτον τῆς ἡμῶν φύσεως, γνοίη ἄν τις ἐξ αὐτῶν, οἶμαι, τῶν καθαρωτάτων δοχείων τοῦ πνεύματος τῆς θείας χάριτος. Ἐπείπερ καὶ Μωϋσῆς ἐκεῖνος ὁ θεῖα μεμαθηκὼς καὶ ἐγνωκὼς τὰ πρὸ τοῦ γενέσθαι τὸν ἄνθρωπον, τὸν τοῦ λαοῦ μερισμὸν καὶ οἱονεὶ ἀπαρίθμησιν παρ' ἑτέρου μεμάθηκε. Καὶ αὐτοὶ οἱ τῶν θεοκηρύκων πρωτοστάται, οἱ ποταμοὶ τῆς σοφίας καὶ οἱονεὶ δώδεκα τῆς ἐρήμου πηγαί, αἱ ποτίσασαι πάλιν (2) τὸν Ἰσραήλ, καὶ αὖτ' εἰςδεδεγμένοι τὸ αὐτάγαθον καὶ σοφοποιὸν θεῖον Πνεῦμα ἐν πυρίναις γλώσσαις (3), οὐκ ἠρκοῦντο καθ' ἑαυτοὺς εἰδέναι, ἀλλ' ἐκοινοῦντο πρὸς ἀλλήλους τὸ Εὐαγγέλιον. Αἵ θ' ὑπερκείμεναι τῶν οὐρανίων ταγμάτων δυνάμεις, τὰς ὑποβεβηκυίας τὸν κοινὸν δεσπότην ἀνεδίδασκον, ἵν' ὅπως ἡμεῖς διδαχθῶμεν ὑπείκειν ἐν λογισμῷ καὶ σώφρονι καταλήψει τοῖς κρείττοσι. Καὶ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ καὶ Πατρὸς Υἱός τε καὶ Λόγος, ὁ πάσης σοφίας δοτήρ, τῇ αὐτοῦ ἀχράντῳ σαρκὶ οὐχ ἅμα τῇ προςλήψει καὶ τὴν σοφίαν ἐνδείκνυσθαι δέδωκεν, ἀλλὰ προκοπτούσης κατὰ τὸ μέτρον τῆς σωματικῆς ἡλικίας, ὡς ὁ ἠγόρος Λουκᾶς ἡμῖν ὑφηγήσατο: «*Ἰησοῦς γὰρ προέκοπτε*, φησί, *σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις*» (4) οὐκ αὐτὸς καιρῶν τι τῆς σοφίας· αὐτοσοφία γάρ ἐστι καὶ πάσης γνώσεως καὶ σοφίας ἀρχή, ἀλλὰ παιδεύων ἡμᾶς ὡς οὐδενὶ δυνατὸν ἅμα πάντα γινώσκειν· καὶ διὰ τοῦτο τὴν προςληφθεῖσαν ἀξίαν σάρκα ἐκ τοῦ κατὰ χρόνον ἐνδείκνυσθαι τὴν σοφίαν πεποίηκε.

1) Λουκ. ιϛ', 29.
2) Γρ. Ἴσως: *Πάλαι*.
3) *Πράξ*. β', 3.
4) β', 52.

Τίς τοίνυν οὕτω διεφθαρμένος τὸν λογισμόν, ὡς ἡγεῖσθαι περὶ αὐτοῦ μὴ χρείαν ἔχειν μαθήσεως, ὅπου γε καὶ αὐτοὶ οἱ ἠλογημένοι νόες καὶ τῆς σοφίας ἀποστάται σφᾶς αὐτοὺς ἀγνοήσαντες, ὅτι δι' ἀλαζονείαν τῆς ὄντως οὔσης ἐκπεπτώκασι ζωῆς, ὡς ἐκ μεταμέλου πολλάκις ζητοῦσι μαθεῖν; Οὕτω διὰ πάντων μέγα τι χρῆμα τὸ τῆς φιλομαθίας· ὡς ἂν δὲ καὶ ταύτῃ τὸν λόγον (1), σκεψώμεθα. Πᾶν ὅ,τι περ κενὸν ὂν τυγχάνει, ἢ παντελῶς ἀνεπίδεκτόν ἐστι τοῦ πληροῦντος, ἢ τοῦτ' ἐπιδεχόμενον πληροῦται κατὰ μικρόν, μηκέτι τοῦ ἐπιχωριάζοντος ἐφιέμενοι (2) τοῦ λοιποῦ· ἡ δὲ ψυχὴ δεκτικὴ μὲν οὖσα μαθήσεως, ἀεὶ δὲ λαμβάνουσα οὐ πληροῦται, ἀλλὰ μᾶλλον δεκτικωτέρα γίγνεται, καὶ πλειόνων ἐπιθυμεῖ κόρον σχεῖν. Ἂν δέ τις ἐξεταστικώτερον σκοπεῖ, πρᾶγμά τι κατίδοι τεράστιον καὶ θάμβους ὄντως πεπληρωμένον, πῶς ἡ τῶν πλειόνων γνῶσις, πλειόνων (3) ἀπορίας αἰτία μᾶλλον γίνεται. Καὶ τοῦτό ἐστι τὸ παρὰ Σολομῶντος ῥηθέν, ὡς: «*Πάντες μὲν οἱ χείμαῤῥοι εἰς τὴν θάλασσαν πορεύονται, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιμπλαμένη*» (4)· οὐ τὴν ἁλμυρὰν δέ φησι καὶ κυματώδη καὶ θέουσαν, οὐδὲ τοὺς ἐκ χιόνος καὶ ὄμβρων χειμμάῤῥους, ἀλλ' αὐτὴν τὴν τῆς θεϊκῆς ἀποῤῥοίας, φημὶ δὴ τοῦ ἐμφυσήματος καὶ τῆς σοφίας δεκτικὴν ψυχήν, καὶ τοὺς ἐν αὐτῇ εἰςβάλλοντας τῶν ὄντων οἱονεὶ χειμέρια ῥεύματα· οὐδὲ γὰρ εἰκῇ τοὺς χειμάῤῥους καλεῖ, ἀλλ' ἄκουε συνετῶς τοῦ σολομωντείου αἰνίγματος. Αἱ ἀεννάως πηγαὶ ῥέουσαι, ἰδίας ἔχουσαι (5) τὰς ἀρχὰς ἐκ τῆς αἰώρας ἐξερχομένας, αὐτῆς φάναι τῆς Ἐδέμ, κατὰ τὴν θείαν Γραφήν (6)· οὐχ οὕτω δὲ καὶ οἱ χείμαῤῥοι ῥέουσιν, ἀλλ' ἐκ τῶν θαλασσίων ἀτμίδων, αἳ καὶ συστᾶσαι γίνονται νεφέλαι, τοῦ ἁλμυροῦ καὶ βαρέος ἀλλοιωθέντος εἰς πότιμόν τε καὶ κοῦφον, εἶθ' οὕτως ἐπὶ τῆς γῆς διακεχυμένου, καὶ αὖθις εἰςβάλλοντα κατὰ θάλατταν. Οὕτω δὴ καὶ τὸ λογιζόμενον ἀτμίδος δίκην ἐξάπτεται τῆς ψυχῆς, κατὰ δὲ τὴν νεφέλην συσταθὲν γίνεται ἐπιστήμη. εἶτα δὲ τὸ κρεῖττον ἐλθὸν διακέχυται τῇ γῇ, τουτέστι τῇ σαρκί· εἶθ' οὕτως ἐπὶ τὴν ἰδίαν ἀναστρέφει μητέρα ψυχήν, κρεῖττον ὂν ἢ ὅτε τὴν ἀφ-

(1) Ἐλλιπὴς ὁ λόγος δοκεῖ.
(2) Γρ. ἴσως: *Ἐφιέμενον*.
(3) Γρ. ἴσως: *Πλείονος*.
(4) *Ἐκκλησ.* α', 7.
(5) Γρ. ἴσως: *Ἔχουσι*.
(6) *Γένεσ.* 6', 10.

χὴν ἐξῆλθεν. Ἡ δὲ τὰ οἰκεῖα λαμβάνουσα οὐκ ἐμπίμπλαται· πᾶν γὰρ τὸ εἰς αὐτὴν ἐμβάλλον ἑαυτῆς ἦν, οὐκ ἄλλοθεν· ταύτῃ τοι καὶ ὡς ἀχανὲς πέλαγος τῷ ἑαυτοῦ πλάτει σκιδνάμενον οὐ φαίνεται· λόγῳ δὲ κρείττονι καὶ οἱονεὶ σοφωτέρῳ τῇ πολλῇ νοήσει περιθαλπομένη, καὶ οἷον τῇ κατ' αὐτὴν ἀναζέουσα γνώσει, πλείονας τὰς γνωστικὰς ἀτμίδας ἀναπέμπει, αἳ καὶ πλείους τοὺς σολομωντείους ποιοῦσι χειμάῤῥους.

Σκοπῶν δ' ἄν τις ἀκριβῶς, τοῦτ' αὐτὸ κατίδοι τεθεωρημένον καὶ περὶ τῆς πρώτης ἐκείνης ἀγγελικῆς ἱεραρχίας· πρηστῆρες γάρ, καὶ [χ]ύσις σοφίας, καὶ θείων νοημάτων ἀνάπαυλα κατονομάζονται· ἀλλά, [κ]αθὸ σωτήριος λόγος, πολλὴν ἡμῖν ἐπιδαψιλεύεται τὴν περὶ ταῦτα ἔν[ν]οιαν: *ποταμοὶ γάρ*, φησιν, *ἐκ τῆς κοιλίας τῶν περὶ αὐτοῦ πίστιν [ἀ]νθίως εἰςδεξαμένων ῥεύσουσιν ὕδατος ζῶντος»* (1). Οὕτως ἀτεχνῶς [μ]έγα τι πρὸς συντέλειαν ψυχῆς ἡ περὶ ταῦτα ζήτησις.

Πῶς δ' ἂν τὴν ἀρχὴν τούτου τοῦ ἀγαθοῦ σχοίημεν, ἄκουσον Σο[λ]ομῶντος καὶ αὖθις νουθετοῦντος ἡμῖν: «*Πᾶσαν διήγησιν θείαν θέλε [ἀ]κούειν, καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέτωσάν σε»* (2)· ἀφ' ἑαυ[τ]οῦ γὰρ γνοίη τις ἂν ἴσως ὅσα περ αὐτὸς εἶδε τοῖς ὀφθαλμοῖς· ἐκ δὲ [το]ῦ μαθεῖν, ὅσα πάντες εἶδον. Ὅτι δὲ καὶ ἡ μάθησις ψυχὴν σώματι [πα]ρασκευάζει μίγνυσθαι, οἱονεὶ μεσότης τις οὖσα ὕλης καὶ ἀϋλίας, [κα]ὶ μεγέθους καὶ ταπεινότητος κατά τουτονὶ τὸν μικτὸν ἄνθρωπον, [γ]ινερον ἐκ τοῦ ταύτῃ τοι κοινωνεῖν ψυχὴν σώματι, καὶ ζωὴν ταύτην [ἔχ]ειν, ἣ ταῖς αἰσθήσεσιν ὡς θεραπαινίσι κεχρημένη προςκτᾶται κατὰ(3) [τὸ] νόημα καὶ γίνεται πρόξενος ἄλλ' ἐξ ἄλλων μανθάνειν, καὶ τῶν αἰ[σθ]ητῶν τὰ ὑπὲρ αἴσθησιν, καθάπερ τις κλίμαξ ἢ γέφυρα μεταπέμ[π]ουσα πως ἡμᾶς καὶ ἀνάγουσα ἐκ τῶν χθαμαλῶν δήπου καὶ γηίνων [πρ]ὸς τὰ οὐράνια. Καί, ὅπερ φύσις οὐ δύναται, τούτου μάθησις πα[ρεκ]τικὴ γίνεται. Τὰ γὰρ ἡμῶν ἔτη ἐν ἑβδομήκοντα καὶ πρός τι μι[κρ]όν· βραχύτατος δ' οὗτος ὁ βίος πρὸς τὸ ἰδεῖν ἔργα Θεοῦ καὶ συνιέναι [τὸν] πλοῦτον τῆς αὐτοῦ χάριτος, κἂν τῶν λίαν σοφῶν καὶ θεωρητικῶν [ᾖ] ἐστίν. Ἀλλ' ἐκ τουτουὶ τοῦ χρήματος τῆς μαθήσεως, καὶ τὰ ἐξ [αἰῶ]νος δῆλα γίνεται τοῖς φιλομαθέσι καὶ ἐπιστήμοσιν. Οὔκουν γε λοι[πὸν] λαμπρότερον ἄν τις εἰς λογισμοὺς τελῶν λάβοι τῆς καθ' ἡμᾶς

(1) Ἰωάν. ζ', 38.
(2) Τὸ ῥητόν ἐστιν οὐχὶ τοῦ Σολομῶντος, ἀλλὰ τοῦ Σειράχ. *Σοφ.* ς', 35.
(3) Γρ· ἴσως: *Καὶ τό.*

ἀξίωμα φύσεως· ἡ γὰρ αἴσθησις ἡμῖν τε καὶ τοῖς ἀλόγοις δέδοται. Τί δὴ λοιπὸν κατὰ ταύτην ἐκείνων διενηνόχαμεν, φαίη τις ἂν ὀρθῶς σκοπῶν, καὶ πλεονεκτεῖν ἡμῶν ἔνια κατὰ τοῦτο τὸ μέρος, ἀλλ' ἢ δῆλον ὅτι νοῦ καὶ μαθήσεως ἐσμὲν δεκτικοί, ὅπερ δὴ παντάπασι τῆς ἐκείνων ἀπελήλαται φύσεως; Πῶς οὖν οὐκ ἄτοπον, τὰ μὲν ἄλογα τοῖς ἰδίοις ἐμμένειν ὅροις φιλεῖν, καὶ οὐδὲν ἂν αὐτῶν τούτων μεταβαίη, ἄνθρωπον δὲ μόνον τὴν αὐτοῦ μετατιθέναι φύσιν ἐπιτηδεύεσθαι; τοῦτο γὰρ αὐτοῦ ἰδιαίτατον, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶναι, καὶ ὅσῳ πλείους οἶδε τὰς ἐπιστήμας, τοσούτῳ τῆς ἀλογότητος διενήνοχε· τὸ γὰρ τέλειον ὅσῳ περ ἂν εἴη τελειότερον, τοσούτῳ γε τῶν ἀτελεστέρων καὶ τιμιώτερον. Εἰ δὴ τοῦτ' ἄν τις ἐν ἡμῖν συνεργὸν εἰς τελειότητα λάβοι, ὅπερ ἂν δι' ἐπιστήμης καὶ μαθήσεως γίγνοιτο, ὅσῳ πάντως μαθήσεως ἀποδέομεν, τοσούτῳ τῆς τῶν ἀλόγων κεκοινωνήκαμεν φύσεως.

Σκοπεῖν δέ σε καὶ τοῦτ' ἄξιον. Τὸ γὰρ γελαστικὸν ἐπουσιῶδες ὄν, ἴδιον ἀνθρώπου τυγχάνει· οὔκουν γε λοιπὸν τούτου χρεία πρὸς τὸ τί εἶναι τὸν ἄνθρωπον· ὃν γὰρ οὐ σώζει, καὶ ἀπὸν οὐ φθείρει. Μὴ γελῶν γὰρ οὐδὲν ἧττον ἄνθρωπος μένει. Καὶ πέφυκε μὲν τοῦτο ποιεῖν· γνώρισμα γὰρ τοῦτο τῆς κατ' αὐτὸν φύσεως· οὐκέτι δ' ἐξ ἀνάγκης καὶ ἀεί. Τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶναι, οὐσιῶδες ἴδιόν ἐστιν αὐτῷ. Ταύτῃ τοι καὶ τοῦ ἐπουσιώδους ἐστὶ τιμιώτερον, ὅτι καὶ παρὸν τὴν οὐσίαν σώζει, καὶ ἀπὸν φθείρει· εἰ γὰρ μὴ ὑπάρχει νοῦ καὶ ἐπιστήμης δεκτικός, οὐδ' ἄνθρωπος· ἐν τῷ τί γὰρ αὐτὸν εἶναι τοῦτο συμβάλλεται, καὶ τοῦτό γε τῇ τούτου οὐσίᾳ πρὸς σύστασιν παρείληπται; διὰ τὴν θύραθεν γνῶσιν καὶ τὰς κατ' αὐτὴν ἐπιγιγνομένας ἡμῖν ἐπιστήμας. Τοίνυν μὴ ζητῶν ἐπιστήμην, οὐδ' ἐνεργείᾳ γίνεται δεκτικὸς ἐπιστήμης· τὸ δὲ μὴ ἐνεργείᾳ τὸν τοῦ τί ἦν εἶναι λόγον κεκτημένον, οὐδ' οὐσία ἐστίν· ἀδύνατον γὰρ κατ' ἐντελέχειάν τι ὄν, εἰς τὸ δυνάμει ποτὲ ἰέναι· φθείρει γὰρ τὸν τοῦ τί ἦν εἶναι λόγον, ὅπερ ἐστὶν ἡ ἑκάστου μορφὴ καὶ οὐσία κατ' ἐντελέχειαν ἑκάστῳ προσοῦσα· οὐδὲ κυρίως ἄνθρωπος ἂν κληθείη· οὐδὲ γὰρ ἐνεργείᾳ τοῦτ' ἐστίν, ἀλλ', ὡς ἔφην, δυνάμει. Ὥσπερ καὶ ὁ τὰ μουσικὰ μὴ εἰδώς, οὐ λέγεται μουσικός, εἰ, καθὰ ἄνθρωπον, δυνατόν ποτε μουσικὸν αὐτὸν γενέσθαι.

Διττὰς δὲ τὰς παραβολὰς κεκτημένος ὁ ἄνθρωπος, ὅτι καὶ διπλῆς τετύχηκε φύσεως· ἐπίγειος γάρ, φησί, καὶ οὐράνιος, θνητὸς καὶ ἀθά-

νατος, ὁρατὸς καὶ νοούμενος· ἐν μὲν τῷ προβάλλεσθαι (1) πρὸς τὰ ἄλογα, ἴδιον αὐτοῦ γίνεται τὸ γελαστικόν, ὅπερ ἐστὶ δύναμις τῆς ἀλόγου ψυχῆς ἐνεργουμένη διὰ μυῶν· ἐν δ' αὖ πρὸς τὰ λογικά, νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶναι· τοῦτο γάρ, ὡς ἄν τις φαίη, τῆς λογικῆς τυγχάνει ψυχῆς, καὶ τοῦτ' ἴδιον ἀνθρώπου λογικοῦ πρὸς τὰ ἐπικοινωνοῦντα καθόλου τῷ λογικῷ. Πόσης οὐκοῦν αἰσχύνης τὸ ἀεὶ χρῆσθαι τῇ τοῦ ἀλόγου ἰδιότητι, καὶ γελᾶν ἐν παντὶ χρόνῳ καὶ ἡλικίᾳ πάσῃ, τῇ δὲ τοῦ λογικοῦ ἐν οὐδενὶ χρῆσθαι καιρῷ γενέσθαι ποτὲ προτιμηθῆναι καὶ ἐνεργείᾳ νοῦ καὶ ἐπιστήμης δεκτικόν; Ὡς δὲ καὶ οἱ ἐν ἐξουσίαις, ὅσοι πλειόνων κυριεύουσι, τρέφουσι δὲ πλείους ἀνθρώπων, ἐπικρατέστεροι τῶν ἄλλων εἶναι φαίνονται, οἱ δὲ τούτων ἀποροῦντες, ἀσθενεῖς τῇ σπάνει τῆς κτήσεως, οὕτω καὶ ἡ ψυχή, ὅσῳ πλειόνων ἔχει τῶν μαθημάτων εὐπορίαν καὶ εἰδήσεις ἐπιστημῶν, καὶ τὴν καθ' ἕκαστα γνῶσιν, τοσούτῳ μᾶλλον ἐπικρατεστέρα γίνεται· ἡ δ' ἀμαθὴς ἀντιστρόφως, πένης, ἐκ χειρουργικῆς ἀλογίας ἀποζῶσα. Διὸ καὶ Σωκράτης κρείττονα ἀξιώσας τῶν ἐν γῇ ζῴων τὸν ἄνθρωπον, οὐχ ἁπλῶς τοῦτ' εἴρηκεν, ἀλλὰ καὶ τοῦτο προσέθηκε, παιδείᾳ κεκοσμημένον εἰπών, ὅπερ μοι λίαν σοφὸν καὶ ἀληθὲς εἶναι δοκεῖ. Καὶ γάρ, ὡς τὰς πόλεις κοσμεῖ τὰ ἀγάλματα, καὶ ναῶν λαμπρότητες, καὶ θεάτρων τερπνότης, καὶ ὅσ' ἄλλα τούτοις παρόμοια, οὕτω καὶ τὸν μικρὸν κόσμον καὶ ὑπὲρ τοὺς οὐρανοὺς ἀναβαίνοντα τουτονὶ τὸν ἄνθρωπον διακοσμεῖ τὰ μαθήματα, καὶ ἡ τῶν ὄντων διάγνωσις, καὶ τὸ παιδείαν ἀσκεῖν. Ἄνευ δ' αὐτῶν τυφλὴν τὴν φύσιν οἱ σοφοὶ ἀπεφήναντο. Τίς δ' οὕτως ἐστερημένος ζωῆς, ὡς ἂν ἑκὼν ἕλοιτο τυφλὴν ἔχειν τὴν φύσιν; Πόσης δὲ δυστυχίας ἐστί, τὸ τὰ μὲν ἄλογα τέχνας μιμητικὰς πρὸς ἀνθρώπους ἀποβλέποντα μανθάνειν, οἱ δ' ἄνθρωποι τὰ τῇ σφῶν αὐτῶν φύσει προσπεφυκότα μανθάνειν ἀμελεῖν; Καὶ ὅπως μὲν τὴν ἀνήροτον γῆν ἡμερώσωσι διὰ σπουδῆς τίθενται, τῶν φυτῶν τε τὰ ἄγρια μετακεντρίζοντες εἰς εὔκαρπα μεταβάλλουσι, τὴν δὲ τῆς ψυχῆς ἡμερότητα περιορῶσιν ἐξαγριαίνειν τῇ ἀμαθίᾳ.

Διό περ, οὐ τοῖς νέοις μόνον προσῆκον ἡ μάθησις, ἀλλὰ καὶ πρεσβύταις καὶ τριπεμπέλοις· κατὰ γὰρ Φιλιστίωνα (2): ***τὰ σπουδαῖα δεῖ***

1) Γρ. ***Παραβάλλεσθαι***, ὥςπερ καὶ ἕτερός τις ἐν τῷ περισελίδῳ ἐσημειώσατο·
2) Φιλιστίωνες μνημονεύονται διάφοροι· οἷον εἷς μὲν Λοκρὸς ἰατρός· ἕτερος δὲ μαρτυτικῶν συγγραφεύς· ἕτερος Σικελιώτης ἰατρὸς ὡςαύτως· ἕτερος φίλος τοῦ Πλά-

μελετᾶν καὶ τὸν νόμον, ἐὰν καὶ παρηκμακώς τις ᾖ, μανθάνειν μὴ αἰσχυνόμενος· βέλτιον γὰρ ὀψιμαθῆ εἶναι τινὰ ἢ ἀμαθῆ (1). Λόγος γάρ, καὶ παιδεία, καὶ ἐπιστῆμαι, τῶν μεμαθηκότων γίνονται ὑπομνήματα, τῶν δ' ἀμαθῶν βαθύτατα μνήματα· τὸ γὰρ ἀλογηθὲν τῆς ψυχῆς μέρος καὶ οἱονεὶ ἀφαιρεθὲν ἐξ αὐτῆς, τῇ μαθήσει ἀνακαινοῦται καὶ εἰς τὴν προτέραν ἐπανέρχεται τάξιν· καὶ ὡς ἔπος εἰπεῖν, συμπληρωτικὴ τῆς ψυχῆς ἡ μάθησις εἶναι συμβαίνει· ὅτι γε καὶ διὰ μαθήσεως τὴν τῶν κακῶν ἀμαθίαν λαμβάνουσιν ἄνθρωποι, ἀρχὴν δὲ καὶ τῶν λόγων περαίωσιν μὴ πλανᾶσθαί σε σκήπτομαι περὶ μάθησιν, κατὰ τὴν πλατωνικὴν σοφωτάτην παραίνεσιν φάσκουσαν: «*Γνώσεως πάσης ἀρχὴ τῆς ἀγνοίας ἡ γνῶσις*».

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΩΣ
ΚΥΡ ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΚΑΝΤΑΚΟΥΖΗΝΟΥ
ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΘΥΓΑΤΕΡΑ ΚΥΡΑΝ ΘΕΟΔΩΡΑΝ ΤΗΝ ΚΑΝΤΑΚΟΥΖΗΝΗΝ ΠΕΡΙ ΤΩΝ ΤΡΙΩΝ ΤΗΣ ΨΥΧΗΣ ΔΥΝΑΜΕΩΝ

Πρότερον μέν σοι, φιλτάτη, τὸν *Περὶ φιλομαθίας* ἀπεστάλκαμεν λόγον, πατρικῶς ἡμᾶς ἐπαναγκάζοντος τοῦ φίλτρου νουθετῆσαι καὶ παραινέσαι πρὸς μάθησιν, εἰ καὶ τοὺς λόγους καλοὺς δημιουργεῖν μακρὰν ὄντες τυγχάνομεν· νῦν δέ σοι καὶ περὶ τῶν τριῶν τῆς ψυχῆς δυνάμεων γράφειν ἐξεῖναι προὐθέμεθα, ἐξ ὧν περ σοφοὶ καὶ κεκαθαρμένοι τὸν νοῦν ἀκριβῶς πρὸ ἡμῶν ὑπηγόρευσαν. Καλῶς γὰρ καὶ ὡς ἴδια τῆς θείας καὶ νοερᾶς συντελεσθείσης διακοσμήσεως, ὁ αἰσθητὸς οὑτοσὶ κόσμος δεδημιούργηται· καὶ τούτων οὕτως ἀπ' ἀλλήλων ἐν τοῖς σοφ-

τωνος· ἕτερος κωμικὸς Νικαεὺς εἴτε, κατ' ἄλλους, Προυσαεὺς ἢ Σαρδιανὸς ἢ Μάγνης ἐπὶ καίσαρος Αὐγούστου ἀκμάσας [ἴδε W. Pape's Wörterbuch der Griechis. Eigennamen]. Καὶ οὗτός ἐστιν ἴσως ὁ ἐνταῦθα μνημονευόμενος, οὗτινος ὅμως οὐδ' ἐλάχιστόν τι λείψανον περιεσώθη ἄχρις ἡμῶν.

(1) Σωκρατικὸν τὸ ἀπόφθεγμα: «*Σωκράτης καίπερ βαθύγηρως ἤδη γεγονὼς οὐκ ᾐδεῖτο πρὸς Λάμπωνα τὸν κιθαριστὴν φοιτῶν· καὶ πρὸς τὸν ἐπὶ τούτῳ ὀνειδίσαντα λέγειν, ὅτι κρεῖττόν ἐστιν ὀψιμαθῆ μᾶλλον ἢ ἀμαθῆ διαβάλλεσθαι*» [Σεξ. Ἐμπειρ. βιβλ. ϛ'. *Πρὸς Μουσικ.* σελ. 359. Lips. 1718].

